GREEK SERIES · VOLUME 26

The Odyssey

Homer

ΟΔΥΣΣΕΙΑ


The Odyssey

Part One: Books I–XII

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 26 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Murray's text of the Odyssey, 1919

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

BOOK I

I.1 · The Council of the Gods 9
I.2 · Athena Comes to Ithaca 16
I.3 · Telemachus and Mentes 21
I.4 · Athena's Counsel 28
I.5 · Penelope and Phemius 33
I.6 · Telemachus Speaks Out 36

BOOK II

II.1 · The Assembly 43
II.2 · Antinous Blames Penelope 49
II.3 · The Omen of the Eagles 52
II.4 · Mentor and Leocritus 58
II.5 · Athena as Mentor 62
II.6 · Telemachus Sets Sail 68

BOOK III

III.1 · Arrival at Pylos 77
III.2 · Nestor's Tale of the Returns 84
III.3 · Nestor on Athena's Care 91

BOOK III

(continued)

III.4 · The Death of Agamemnon 95
III.5 · Athena Departs 101
III.6 · The Sacrifice and the Journey 107

BOOK IV

IV.1 · The Palace of Menelaus 115
IV.2 · Helen Recognizes Telemachus 123
IV.3 · Helen's Drug and the Wooden Horse 130
IV.4 · Telemachus Asks for News 136
IV.5 · Eidothea 140
IV.6 · Proteus 146
IV.7 · The Fate of Odysseus and of Menelaus 154
IV.8 · The Suitors Learn of the Voyage 160
IV.9 · Penelope's Prayer 167
IV.10 · The Phantom and the Ambush 172

BOOK V

V.1 · The Second Council 177
V.2 · Hermes and Calypso 180
V.3 · Calypso Lets Odysseus Go 187
V.4 · The Raft 193
V.5 · Poseidon's Storm 197
V.6 · Landfall in Scheria 205

BOOK VI

VI.1 · Athena Visits Nausicaa 213
VI.2 · The Washing at the River 217
VI.3 · Odysseus and Nausicaa 221

BOOK VI

(continued)

VI.4 · Nausicaa's Kindness 227
VI.5 · Instructions for the City 232

BOOK VII

VII.1 · Athena Leads Odysseus 239
VII.2 · The Palace and Garden of Alcinous 245
VII.3 · Odysseus Supplicates Arete 249
VII.4 · Arete's Question 256
VII.5 · Alcinous' Promise 261

BOOK VIII

VIII.1 · The Phaeacian Assembly 267
VIII.2 · The Games 274
VIII.3 · Odysseus Throws the Discus 278
VIII.4 · The Song of Ares and Aphrodite 285
VIII.5 · The Gifts 294
VIII.6 · The Song of the Wooden Horse 301
VIII.7 · Alcinous Asks the Stranger's Name 305

BOOK IX

IX.1 · Odysseus Names Himself 311
IX.2 · The Cicones and the Lotus-Eaters 314
IX.3 · The Land of the Cyclopes 319
IX.4 · In the Cave of Polyphemus 325
IX.5 · Noman 334
IX.6 · Escape under the Rams 341
IX.7 · Polyphemus' Curse 346

BOOK X

X.1 · The Bag of Winds 353
X.2 · The Laestrygonians 359
X.3 · Circe's Island 363
X.4 · The Men Turned to Swine 368
X.5 · Hermes and the Moly 373
X.6 · The Men Restored 379
X.7 · A Year with Circe 383
X.8 · The Way to Hades 389

BOOK XI

XI.1 · The Sacrifice and Elpenor 397
XI.2 · Teiresias' Prophecy 403
XI.3 · Anticleia 408
XI.4 · The Heroines 413
XI.5 · The Intermezzo 421
XI.6 · Agamemnon 425
XI.7 · Achilles 431
XI.8 · Ajax and the Great Sinners 436

BOOK XII

XII.1 · Circe's Warnings 445
XII.2 · Scylla, Charybdis, and the Cattle of the Sun 450
XII.3 · The Sirens 455
XII.4 · Scylla 460
XII.5 · Thrinacia 464
XII.6 · The Death of the Comrades 471

BOOK I

I.1 · THE COUNCIL OF THE GODS

The poet asks the muse to sing of the man of many turns, who lost all his comrades through their own folly. Every other survivor of Troy is home, but the nymph Calypso keeps Odysseus on her island. While Poseidon feasts among the Ethiopians, Zeus tells the gods that mortals blame them for evils of their own making, as Aegisthus did. Athena pleads for Odysseus, and Zeus agrees that he shall go home; Athena proposes that they send Hermes to Calypso, and says she will go to Ithaca herself.

Ἄνδρα μοι ἔννεπε, μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
The-man to-me tell muse of-many-turns who very many(-ways)
πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν·
was-driven-wandering after of-Troy sacred citadel he-sacked
πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,
of-many and of-men he-saw cities and mind he-learned
πολλὰ δ' ὅ γ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,
many and he indeed on the-sea suffered pains his-own in heart
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων. 5
striving-to-win his-own both life and return of-comrades
ἀλλ' οὐδ' ὣς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·
but not-even so (his)-comrades he-rescued desiring though
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,
of-themselves for by-their-own by-recklessness they-perished
νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
fools who down the-cattle of-Hyperion of-Helios
ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
ate but he from-them took-away of-return day
τῶν ἁμόθεν γε, θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν. 10
of-these from-some-point indeed goddess daughter of-Zeus tell also to-us

Ἔνθ᾽ ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
Then others indeed all as-many-as escaped sheer destruction
οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
at-home were war both having-escaped and sea
τὸν δ᾽ οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς
him but alone for-return longing and for-wife
νύμφη πότνι᾽ ἔρυκε Καλυψὼ δῖα θεάων
nymph queenly held-back Calypso bright of-goddesses
ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
in caves hollow desiring (him)-husband to-be
ἀλλ᾽ ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
but when indeed the-year came revolving of-seasons
τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἰκόνδε νέεσθαι
in-which for-him spun gods homeward to-return
εἰς Ἰθάκην, οὐδ᾽ ἔνθα πεφυγμένος ἦεν ἀέθλων
to Ithaca not-even there escaped was from-toils
καὶ μετὰ οἷσι φίλοισι. θεοὶ δ᾽ ἐλέαιρον ἅπαντες
even among his-own friends the-gods and pitied all
νόσφι Ποσειδάωνος· ὁ δ᾽ ἀσπερχὲς μενέαινεν
apart-from Poseidon he but vehemently raged
ἀντιθέῳ Ὀδυσῆι πάρος ἣν γαῖαν ἱκέσθαι.
against-godlike Odysseus before his-own land to-reach
Ἀλλ᾽ ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ᾽ ἐόντας,
But he indeed the-Ethiopians had-gone-among far-off being
Αἰθίοπας τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
Ethiopians who in-two are-divided farthest of-men
οἱ μὲν δυσομένου Ὑπερίονος οἱ δ᾽ ἀνιόντος,
some indeed of-setting Hyperion others and of-rising
ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
to-receive of-bulls both and of-rams a-hecatomb

ἔνθ᾽ ὅ γ᾽ ἐτέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι
there he indeed was-delighting at-the-feast sitting-by the and indeed others
Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίου ἁθρόοι ἦσαν.
of-Zeus in halls of-Olympian gathered were
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
to-them and of-speech began father of-men both of-gods and
μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,
he-remembered for in heart of-blameless of-Aegisthus
τόν ῥ᾽ Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν᾽ Ὀρέστης· 30
whom then Agamemnon's-son far-famed killed Orestes
τοῦ ὅ γ᾽ ἐπιμνησθεὶς ἔπε᾽ ἀθανάτοισι μετηύδα·
of-him he indeed having-recalled words to-immortals spoke-among
"Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
Oh for-shame how indeed now gods mortals blame
ἐξ ἡμέων γάρ φασι κάκ᾽ ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
from us for they-say evils to-be they and also themselves
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε᾽ ἔχουσιν,
by-their-own by-recklessness beyond fate pains have
ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο 35
as also now Aegisthus beyond fate of-the-son-of-Atreus
γῆμ᾽ ἄλοχον μνηστήν, τὸν δ᾽ ἔκτανε νοστήσαντα,
married the-wife wedded him and killed having-returned
εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
knowing sheer destruction since beforehand to-him told we
Ἑρμείαν πέμψαντες, ἐύσκοπον ἀργεϊφόντην,
Hermes having-sent keen-sighted Argus-slayer
μήτ᾽ αὐτὸν κτείνειν μήτε μνάασθαι ἄκοιτιν·
neither him to-kill nor to-woo (his)-wife
ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο, 40
from for Orestes vengeance will-be for-the-son-of-Atreus

ὁππότ' ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.
whenever — he-comes-of-age both and for-his-own longs land
ὣς ἔφαθ' Ἑρμείας, ἀλλ' οὐ φρένας Αἰγίσθοιο
so spoke Hermes but not the-mind of-Aegisthus
πεῖθ' ἀγαθὰ φρονέων· νῦν δ' ἁθρόα πάντ' ἀπέτισεν."
persuaded good intending now and all-at-once all he-has-paid-for
Τὸν δ' ἠμείβετ' ἔπειτα θεά, γλαυκῶπις Ἀθήνη·
Him and answered then the-goddess flashing-eyed Athena
" Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὔπατε κρειόντων,
O father our son-of-Cronus highest of-rulers
καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
yes surely that-one indeed by-fitting lies by-destruction
ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι·
so may-perish also another whoever such-things indeed should-do
ἀλλά μοι ἀμφ' Ὀδυσῆι δαΐφρονι δαίεται ἦτορ,
but my about Odysseus wise-hearted is-torn heart
δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει
ill-fated who indeed long friends from sorrows suffers
νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης.
island on sea-washed where — the-navel is of-the-sea
νῆσος δενδρήεσσα, θεὰ δ' ἐν δώματα ναίει,
an-island wooded a-goddess and in halls dwells
Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης
of-Atlas daughter baleful who — of-the-sea
πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
all the-depths knows holds and — pillars himself
μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.
tall which earth both and heaven apart hold
τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει,
his daughter wretched grieving holds-back

αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισιν
always and with-soft and wheedling words
θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεύς,
she-charms so-that Ithaca he-may-forget but Odysseus
ἱέμενος καὶ καπνὸν ἀποθρῴσκοντα νοῆσαι
longing even the-smoke leaping-up to-see
ἧς γαίης, θανέειν ἱμείρεται. οὐδέ νυ σοί περ
of-his-own land to-die longs nor now your indeed
ἐντρέπεται φίλον ἦτορ, Ὀλύμπιε. οὔ νύ τ' Ὀδυσσεὺς
turns dear heart Olympian not now you-know Odysseus
Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων
of-Argives by the-ships pleased(-you) sacred-things performing
Τροίῃ ἐν εὐρείῃ; τί νύ οἱ τόσον ὠδύσαο, Ζεῦ;"
Troy in broad why now with-him so-much were-you-angry Zeus
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
"Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
Child my what you word escaped the-fence of-teeth
πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
how — then of-Odysseus I of-godlike could-forget
ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν
who beyond indeed in-mind is mortals beyond and sacrifices to-gods
ἀθανάτοισιν ἔδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
immortal gave who heaven broad hold
ἀλλὰ Ποσειδάων γαιήοχος ἀσκελὲς αἰεὶ
but Poseidon earth-holder stubbornly always
Κύκλωπος κεχόλωται, ὃν ὀφθαλμοῦ ἀλάωσεν,
for-the-Cyclops is-angry whom of-eye he-blinded

ἀντίθεον Πολύφημον, ὅου κράτος ἐστὶ μέγιστον
godlike Polyphemus whose might is greatest
πᾶσιν Κυκλώπεσσι· Θόωσα δέ μιν τέκε νύμφη,
among-all Cyclopes Thoosa and him bore the-nymph
Φόρκυνος θυγάτηρ ἁλὸς ἀτρυγέτοιο μέδοντος,
of-Phorcys daughter of-the-sea barren ruling
ἐν σπέσσι γλαφυροῖσι Ποσειδάωνι μιγεῖσα.
in caves hollow with-Poseidon having-lain
ἐκ τοῦ δὴ Ὀδυσῆα Ποσειδάων ἐνοσίχθων
from that indeed Odysseus Poseidon earth-shaker
οὔ τι κατακτείνει, πλάζει δ' ἀπὸ πατρίδος αἴης.
not at-all kills makes-wander but from native land
ἀλλ' ἄγεθ', ἡμεῖς οἵδε περιφραζώμεθα πάντες
but come we these let-us-plan all
νόστον, ὅπως ἔλθῃσι· Ποσειδάων δὲ μεθήσει
return how he-may-come Poseidon and will-let-go
ὃν χόλον· οὐ μὲν γάρ τι δυνήσεται ἀντία πάντων
his-own anger not indeed for at-all will-be-able against all
ἀθανάτων ἀέκητι θεῶν ἐριδαινέμεν οἷος."
of-immortal against-will of-gods to-contend alone
Τὸν δ' ἠμείβετ' ἔπειτα θεά, γλαυκῶπις Ἀθήνη·
Him and answered then the-goddess flashing-eyed Athena
" Ὦ πάτερ ἡμέτερε Κρονίδη, ὔπατε κρειόντων,
O father our son-of-Cronus highest of-rulers
εἰ μὲν δὴ νῦν τοῦτο φίλον μακάρεσσι θεοῖσιν,
if indeed truly now this dear to-the-blessed gods
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
to-return Odysseus shrewd to-his-own home

Ἑρμείαν μὲν ἔπειτα διάκτορον ἀργεϊφόντην
Hermes indeed then the-guide Argus-slayer
νῆσον ἐς Ὠγυγίην ὀτρύνομεν, ὄφρα τάχιστα
island to Ogygia let-us-urge so-that most-quickly
νύμφῃ ἐυπλοκάμῳ εἶπῃ νημερτέα βουλήν,
to-the-nymph fair-tressed he-may-tell unerring resolve
νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται·
the-return of-Odysseus steadfast how — he-may-return
αὐτὰρ ἐγὼν Ἰθάκηνδ' ἐσελεύσομαι, ὄφρα οἱ υἱὸν
but I to-Ithaca will-go so-that his son
μᾶλλον ἐποτρύνω καί οἱ μένος ἐν φρεσὶ θείω,
more I-may-rouse and in-him courage in heart may-put
εἰς ἀγορὴν καλέσαντα κάρη κομόωντας Ἀχαιοὺς
to assembly having-called on-head long-haired Achaeans
πᾶσι μνηστήρεσσιν ἀπειπέμεν, οἵ τέ οἱ αἰεὶ
to-all suitors to-speak-out who — his always
μῆλ' ἀδινὰ σφάζουσι καὶ εἰλίποδας ἕλικας βοῦς.
sheep thronging slaughter and shambling crooked-horned cattle
πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
I-will-send and to Sparta both and to Pylos sandy
νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσῃ,
return to-inquire-about of-father dear if somewhere he-may-hear
ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν."
and so-that him fame good among men may-hold

Athena flies to Ithaca in the likeness of Mentes, a Taphian chief, and finds the suitors at their board games. Telemachus, sitting among them and dreaming of his father's return, sees the stranger first. He leads her inside and seats her apart from the suitors' din, and the servants bring her water, bread, and meat. The suitors feast, and the herald hands the lyre to Phemius.

Ὣς εἰποῦσ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
So having-spoken beneath feet she-bound fair sandals
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
immortal golden which her bore both over the-wet
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
and over boundless earth with the-blasts of-the-wind
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,
she-took and valiant spear pointed with-sharp bronze
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
heavy great stout with-which she-subdues ranks of-men
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
of-heroes with-whom — she-is-angry daughter-of-a-mighty-father
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξασα,
went and down of-Olympus from-the-peaks darting
στῆ δ' Ἰθάκης ἐνὶ δήμῳ ἐπὶ προθύροις Ὀδυσῆος,
stood and of-Ithaca in the-land at the-front-gate of-Odysseus
οὐδοῦ ἐπ' αὐλείου· παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
of-the-threshold on of-the-courtyard in-hand and held bronze spear
εἰδομένη ξείνῳ, Ταφίων ἡγήτορι Μέντῃ.
likened to-a-guest-friend of-the-Taphians to-the-leader Mentes

εὗρε δ' ἄρα μνηστῆρας ἀγήνορας. οἱ μὲν ἔπειτα
found and then the-suitors proud they indeed then
πεσσοῖσι προπάροιθε θυράων θυμὸν ἔτερπον
with-game-pieces in-front-of the-doors heart were-delighting
ἥμενοι ἐν ῥινοῖσι βοῶν, οὓς ἔκτανον αὐτοί·
sitting on hides of-oxen which had-killed themselves
κήρυκες δ' αὐτοῖσι καὶ ὀτρηροὶ θεράποντες
heralds and for-them and busy attendants
οἱ μὲν οἶνον ἔμισγον ἐνὶ κρητῆρσι καὶ ὕδωρ,
some indeed wine were-mixing in mixing-bowls and water
οἱ δ' αὖτε σπόγγοισι πολυτρήτοισι τραπέζας
others and in-turn with-sponges many-holed tables
νίζον καὶ πρότιθεν, τοὶ δὲ κρέα πολλὰ δατεῦντο.
were-washing and setting-out others and meats much were-carving
Τὴν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδής,
Her and by-far first saw Telemachus godlike
ἧστο γὰρ ἐν μνηστῆρσι φίλον τετιημένος ἦτορ,
he-sat for among suitors dear grieved heart
ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσίν, εἴ ποθεν ἐλθὼν
seeing father noble in mind if from-somewhere coming
μνηστήρων τῶν μὲν σκέδασιν κατὰ δώματα θείη,
of-suitors these indeed a-scattering through the-house he-might-make
τιμὴν δ' αὐτὸς ἔχοι καὶ δώμασιν οἷσιν ἀνάσσοι.
honor and himself might-have and over-house his-own might-rule
τὰ φρονέων, μνηστῆρσι μεθήμενος, εἶσιδ' Ἀθήνην.
these-things thinking among-suitors sitting he-saw Athena

βῆ δ' ἰθὺς προθύροιο, νεμεσσήθη δ' ἐνὶ θυμῷ
went and straight to-the-front-gate was-indignant and in heart
ξεῖνον δηθὰ θύρῃσιν ἐφεστάμεν· ἐγγύθι δὲ στὰς
a-stranger long at-the-doors to-stand near and standing
χεῖρ' ἕλε δεξιτερὴν καὶ ἐδέξατο χάλκεον ἔγχος,
hand took right and received bronze spear
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
"Χαῖρε, ξεῖνε, παρ' ἄμμι φιλήσεαι· αὐτὰρ ἔπειτα
Hail stranger with us you-will-be-welcomed but then
δείπνου πασσάμενος μυθήσεαι ὅττεό σε χρή."
of-dinner having-tasted you-will-tell what you needs
Ὣς εἰπὼν ἡγεῖθ', ἡ δ' ἕσπετο Παλλὰς Ἀθήνη.
So having-spoken he-led she and followed Pallas Athena
οἱ δ' ὅτε δή ῥ' ἔντοσθεν ἔσαν δόμου ὑψηλοῖο,
they and when indeed then inside were the-house of-lofty
ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρὴν
spear indeed then he-set carrying against pillar tall
δουροδόκης ἔντοσθεν ἐυξόου, ἔνθα περ ἄλλα
of-a-spear-stand within well-polished where indeed other
ἔγχε' Ὀδυσσῆος ταλασίφρονος ἵστατο πολλά,
spears of-Odysseus steadfast stood many
αὐτὴν δ' ἐς θρόνον εἷσεν ἄγων, ὑπὸ λῖτα πετάσσας,
her and on chair he-seated leading under linen having-spread
καλὸν δαιδάλεον· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
fair ornate under and footstool for-feet was

πὰρ δ' αὐτὸς κλισμὸν θέτο ποικίλον, ἔκτοθεν ἄλλων
beside and himself an-armchair placed inlaid apart-from the-others
μνηστήρων, μὴ ξεῖνος ἀνιηθεὶς ὀρυμαγδῷ
the-suitors lest the-guest vexed by-the-din
δείπνῳ ἀδήσειεν, ὑπερφιάλοισι μετελθών,
at-dinner should-loathe(-it) overbearing coming-among
ἠδ' ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο.
and so-that her about father departed he-might-ask
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
water-for-hands and a-maid from-a-ewer poured-over bringing
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
fair golden over silver basin
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
to-wash beside and polished she-set-out table
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
bread and modest housekeeper set-beside bringing
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων·
foods many adding giving-freely from-what-was-there
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
the-carver and of-meats platters set-beside lifting
παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα·
of-all-kinds beside and for-them set golden cups
κῆρυξ δ' αὐτοῖσιν θάμ' ἐπώχετο οἰνοχοεύων.
a-herald and for-them often went-about pouring-wine
Ἐς δ' ἦλθον μνηστῆρες ἀγήνορες. οἱ μὲν ἔπειτα
In and came the-suitors proud they indeed then
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε,
in-a-row sat-down on armchairs both chairs and
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
to-them and heralds indeed water over hands poured

σῖτον δὲ δμῳαὶ παρενήνεον ἐν κανέοισιν,
bread and maidservants heaped-up in baskets
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.
youths and mixing-bowls filled-to-the-brim with-drink
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο
but when of-drink and of-food out desire they-put
μνηστῆρες, τοῖσιν μὲν ἐνὶ φρεσὶν ἄλλα μεμήλει,
the-suitors to-them indeed in minds other-things were-of-concern
μολπή τ' ὀρχηστύς τε· τὰ γάρ τ' ἀναθήματα δαιτός·
song both dancing and these for — adornments of-a-feast
κῆρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλέα θῆκεν
a-herald and into hands lyre very-fair placed
Φημίῳ, ὅς ῥ' ἤειδε παρὰ μνηστῆρσιν ἀνάγκῃ.
to-Phemius who then was-singing among the-suitors by-necessity
ἦ τοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.
truly indeed he playing-the-lyre struck-up beautifully to-sing

Telemachus tells the stranger that the suitors devour the house of a man whose bones are surely rotting somewhere, and asks who the guest is. Athena, as Mentes, says she is an old guest-friend of Odysseus' house, and prophesies that Odysseus is alive and will soon return. Telemachus says his mother calls him Odysseus' son, but no one knows his own father. He describes how the suitors from all the islands woo Penelope and waste his house.

Αὐτὰρ Τηλέμαχος προσέφη γλαυκῶπιν Ἀθήνην,
But Telemachus addressed flashing-eyed Athena
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι·
near holding (his)-head so-that not might-hear the others
"Ξεῖνε φίλ', ἦ καί μοι νεμεσήσεαι ὅττι κεν εἴπω;
Stranger dear truly and with-me will-you-be-indignant whatever — I-say
τούτοισιν μὲν ταῦτα μέλει, κίθαρις καὶ ἀοιδή,
to-these indeed these-things are-of-concern lyre and song
ῥεῖ', ἐπεὶ ἀλλότριον βίοτον νήποινον ἔδουσιν, 160
easily since another's livelihood unpunished they-devour
ἀνέρος, οὗ δή που λεύκ' ὀστέα πύθεται ὄμβρῳ
of-a-man whose indeed somewhere white bones rot in-the-rain
κείμεν' ἐπ' ἠπείρου, ἢ εἰν ἁλὶ κῦμα κυλίνδει.
lying on the-mainland or in the-sea a-wave rolls(-them)
εἰ κεῖνόν γ' Ἰθάκηνδε ἰδοίατο νοστήσαντα,
if him indeed to-Ithaca they-should-see having-returned
πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι
all — would-pray lighter in-feet to-be
ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε. 165
than richer in-gold both in-clothing and

νῦν δ' ὁ μὲν ὣς ἀπόλωλε κακὸν μόρον, οὐδέ τις ἡμῖν
now but he indeed so has-perished by-evil fate nor any for-us
θαλπωρή, εἴ πέρ τις ἐπιχθονίων ἀνθρώπων
comfort even-if indeed any of-earthly men
φῇσιν ἐλεύσεσθαι· τοῦ δ' ὤλετο νόστιμον ἦμαρ.
should-say he-will-come of-him and perished of-return day
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
but come to-me this tell and truly recount
τίς, πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
who whence are-you of-men where your city and parents
ὁππoίης τ' ἐπὶ νηὸς ἀφίκεο· πῶς δέ σε ναῦται
on-what-kind and upon ship did-you-come how and you sailors
ἤγαγον εἰς Ἰθάκην; τίνες ἔμμεναι εὐχετόωντο;
brought to Ithaca who to-be did-they-declare
οὐ μὲν γάρ τί σε πεζὸν ὀίομαι ἐνθάδ' ἱκέσθαι.
not indeed for at-all you on-foot I-think here to-have-come
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐὺ εἰδῶ,
and to-me this tell truly so-that well I-may-know
ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώιός ἐσσι
whether newly you-come-and-go or also ancestral are-you
ξεῖνος, ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
guest-friend since many came men our house
ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων."
others since also he one-who-went-about was among-men

Τὸν δ' αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"Τοιγὰρ ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you these-things very truly will-tell

Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
Mentes of-Anchialus wise I-declare to-be
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
the-son but over-the-Taphians oar-loving I-rule
νῦν δ' ὧδε ξὺν νηὶ κατήλυθον ἠδ' ἑτάροισιν
now and thus with a-ship I-have-come-down and with-comrades
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόους ἀνθρώπους,
sailing over wine-dark sea to strange-tongued men
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ' αἴθωνα σίδηρον.
to Temese for bronze I-carry and gleaming iron
νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος,
the-ship and my this stands by the-country apart-from the-city
ἐν λιμένι Ῥείθρῳ ὑπὸ Νηίῳ ὑλήεντι.
in the-harbor Rheithron under Neion wooded
ξεῖνοι δ' ἀλλήλων πατρώιοι εὐχόμεθ' εἶναι
guest-friends and of-each-other ancestral we-declare to-be
ἐξ ἀρχῆς, εἴ πέρ τε γέροντ' εἴρηαι ἐπελθὼν
from the-beginning if indeed — the-old-man you-should-ask going
Λαέρτην ἥρωα, τὸν οὐκέτι φασὶ πόλινδε
Laertes the-hero who no-longer they-say to-the-city
ἔρχεσθ', ἀλλ' ἀπάνευθεν ἐπ' ἀγροῦ πήματα πάσχειν
to-come but far-away in the-country sorrows to-suffer
γρηὶ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε
an-old with a-handmaid who to-him food both drink and
παρτιθεῖ, εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβῃσιν
sets-beside whenever — him weariness over limbs should-seize
ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
creeping along the-slope of-the-plot of-vineyard
νῦν δ' ἦλθον· δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι,
now and I-have-come indeed for him they-said at-home to-be

σὸν πατέρ᾽· ἀλλά νυ τόν γε θεοὶ βλάπτουσι κελεύθου.
your father but now him indeed the-gods hinder from-the-path
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
not for yet has-died on earth noble Odysseus
ἀλλ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρέι πόντῳ
but still somewhere alive is-held-back on-the-wide sea
νήσῳ ἐν ἀμφιρύτῃ, χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν
island on sea-girt harsh and him men hold
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ᾽ ἀέκοντα.
savage who somewhere him detain unwilling
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
but now to-you I will-prophesy as in heart
ἀθάνατοι βάλλουσι καὶ ὡς τελέεσθαι ὀΐω,
the-immortals cast(-it) and as to-be-fulfilled I-think
οὔτε τι μάντις ἐὼν οὔτ᾽ οἰωνῶν σάφα εἰδώς.
neither at-all a-seer being nor of-birds clearly knowing
οὔ τοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
not you-know longer long indeed dear from native land
ἔσσεται, οὐδ᾽ εἴ πέρ τε σιδήρεα δέσματ᾽ ἔχῃσιν·
he-will-be not-even if indeed — iron bonds should-hold(-him)
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
he-will-devise how — he-may-return since of-many-devices he-is
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
εἰ δὴ ἐξ αὐτοῖο τόσος πάις εἰς Ὀδυσῆος.
if indeed from himself so-tall a-child you-are of-Odysseus
αἰνῶς μὲν κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
terribly indeed in-head both and eyes fair you-resemble
κείνῳ, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ᾽ ἀλλήλοισιν,
him since often so we-met with-each-other

πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθα περ ἄλλοι
before indeed him to Troy to-embark where indeed others
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐνὶ νηυσίν·
of-the-Argives the best went hollow in ships
ἐκ τοῦ δ' οὔτ' Ὀδυσῆα ἐγὼν ἴδον οὔτ' ἔμ' ἐκεῖνος."
from that and neither Odysseus I saw nor me he
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you stranger very truly will-tell
μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι, αὐτὰρ ἐγώ γε
mother indeed — me says of-him to-be but I indeed
οὐκ οἶδ'· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
not know not for yet anyone his-own parentage himself knew
ὡς δὴ ἐγώ γ' ὄφελον μάκαρός νύ τευ ἔμμεναι υἱὸς
would indeed I indeed ought of-blessed now of-some to-be son
ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμε.
man whom amid-possessions his-own in old-age overtook
νῦν δ' ὃς ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων,
now but who most-ill-fated was of-mortal men
τοῦ μ' ἔκ φασι γενέσθαι, ἐπεὶ σύ με τοῦτ' ἐρεείνεις."
of-him me from they-say to-be-born since you me this ask
Τὸν δ' αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"Οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμνον ὀπίσσω
Not indeed you-know a-lineage indeed the-gods nameless hereafter
θῆκαν, ἐπεὶ σέ γε τοῖον ἐγείνατο Πηνελόπεια.
made since you indeed such bore Penelope
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
but come to-me this tell and truly recount

τίς δαίς, τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;
what feast what and throng this is why and you need
εἰλαπίνη ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν·
a-banquet or a-wedding since not a-shared-meal these indeed are
ὥς τέ μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσι
as — to-me insolently overbearingly they-seem
δαίνυσθαι κατὰ δῶμα. νεμεσσήσαιτό κεν ἀνὴρ
to-feast through the-house would-be-indignant — a-man
αἴσχεα πόλλ' ὁρόων, ὅς τις πινυτός γε μετέλθοι."
shames many seeing who any sensible indeed should-come-among(-them)
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Ξεῖν', ἐπεὶ ἦρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς,
Stranger since then indeed these-things me you-ask and inquire
μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων
was-likely indeed once house this rich and blameless
ἔμμεναι, ὄφρ' ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν·
to-be while still that man in-the-land was
νῦν δ' ἑτέρως ἐβόλοντο θεοὶ κακὰ μητιόωντες,
now but otherwise willed the-gods evils devising
οἳ κεῖνον μὲν ἄιστον ἐποίησαν περὶ πάντων
who him indeed unseen made beyond all
ἀνθρώπων, ἐπεὶ οὔ κε θανόντι περ ὧδ' ἀκαχοίμην,
men since not — him-dead even thus would-I-grieve
εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ,
if among his-own comrades he-was-subdued of-Trojans in the-land
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν.
or of-friends in arms when war he-had-wound-up
τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοί,
then — for-him a-barrow indeed would-have-made the-Panachaeans

ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ᾽ ὀπίσσω.
and — also for-his-own son great fame he-would-have-won hereafter
νῦν δέ μιν ἀκλειῶς ἅρπυιαι ἀνηρείψαντο·
now but him ingloriously the-storm-winds have-snatched-up
οἴχετ᾽ ἄιστος ἄπυστος, ἐμοὶ δ᾽ ὀδύνας τε γόους τε
he-is-gone unseen unheard to-me and pains both laments and
κάλλιπεν. οὐδέ τι κεῖνον ὀδυρόμενος στεναχίζω
he-left nor at-all him mourning I-groan
οἷον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε᾽ ἔτευξαν.
alone since now for-me other the-gods evil troubles have-wrought
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
as-many-as for over-the-islands hold-power the-best
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
over-Dulichium both Same and also wooded Zacynthus
ἠδ᾽ ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
and as-many-as rocky Ithaca throughout lord-it
τόσσοι μητέρ᾽ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
so-many mother my woo wear-out and the-house
ἡ δ᾽ οὔτ᾽ ἀρνεῖται στυγερὸν γάμον οὔτε τελευτὴν
she and neither refuses hateful marriage nor an-end
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
to-make is-able they and waste-away eating
οἶκον ἐμόν· τάχα δή με διαρραίσουσι καὶ αὐτόν.᾽᾽
house my soon indeed me they-will-tear-apart even myself

Athena wishes Odysseus would stand in the doorway armed and make the suitors' marriage bitter. She tells Telemachus to call an assembly, send the suitors home and his mother back to her father's house if she wants to marry. He is to sail to Pylos and Sparta for news of his father, and then plan how to kill the suitors, as Orestes won fame by killing Aegisthus. She puts off his gift until her return and flies off like a bird, and he knows she was a god.

Τὸν δ' ἐπαλαστήσασα προσηύδα Παλλὰς Ἀθήνη·
Him and growing-indignant addressed Pallas Athena
" Ὤ πόποι, ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος
Oh for-shame truly indeed much of-absent Odysseus
δεύῃ, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη.
you-lack who — on-the-suitors shameless hands might-lay
εἰ γὰρ νῦν ἐλθὼν δόμου ἐν πρώτῃσι θύρῃσι
if only now coming of-the-house in the-first doors
σταίη, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
he-should-stand holding a-helmet and a-shield and two spears
τοῖος ἐὼν οἷόν μιν ἐγὼ τὰ πρῶτ' ἐνόησα
such being as him I at-the first saw
οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,
house in our drinking both delighting and

ἐξ Ἐφύρης ἀνιόντα παρ᾽ Ἴλου Μερμερίδαο —
from Ephyra coming-up from Ilus son-of-Mermerus
ὤχετο γὰρ καὶ κεῖσε θοῆς ἐπὶ νηὸς Ὀδυσσεὺς
had-gone for also thither swift on ship Odysseus
φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
a-drug man-slaying seeking so-that for-him it-might-be
ἰοὺς χρίεσθαι χαλκήρεας· ἀλλ᾽ ὁ μὲν οὔ οἱ
arrows to-smear bronze-tipped but he indeed not to-him
δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας,
gave since then the-gods he-feared always being
ἀλλὰ πατήρ οἱ δῶκεν ἐμός· φιλέεσκε γὰρ αἰνῶς —
but father to-him gave my he-loved(-him) for terribly
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
such being among-the-suitors should-mingle Odysseus
πάντες κ᾽ ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
all — swift-fated both would-be bitter-wedded and
ἀλλ᾽ ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
but truly indeed indeed these-things of-the-gods on the-knees lie
ἤ κεν νοστήσας ἀποτίσεται, ἦε καὶ οὐκί,
whether — having-returned he-will-take-vengeance or also not
οἷσιν ἐνὶ μεγάροισι· σὲ δὲ φράζεσθαι ἄνωγα,
his-own in halls you but to-consider I-bid
ὅππως κε μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο.
how — the-suitors you-may-thrust-out out-of the-hall
εἰ δ᾽ ἄγε νῦν ξυνίει καὶ ἐμῶν ἐμπάζεο μύθων·
if and come now heed and my attend-to words
αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς
tomorrow into assembly having-called the-heroes Achaeans
μῦθον πέφραδε πᾶσι, θεοὶ δ᾽ ἐπὶ μάρτυροι ἔστων.
speech declare to-all the-gods and to(-it) witnesses let-be

μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι,
suitors indeed to their-own to-scatter bid
μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
mother and if her heart is-stirred to-marry
ἂψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο·
back let-her-go to the-hall of-father greatly being-powerful
οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα
they and a-marriage will-make and will-prepare wedding-gifts
πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
many very as-many-as befits dear with a-daughter to-go
σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, αἴ κε πίθηαι·
to-you and yourself shrewdly I-will-suggest if — you-obey
νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν, ἥ τις ἀρίστη,
a-ship having-fitted with-rowers twenty which any best
ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
go to-inquire-about of-father long gone
ἤν τίς τοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσῃς
if anyone to-you should-tell of-mortals or a-rumor you-hear
ἐκ Διός, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισι.
from Zeus which — most brings report to-men
πρῶτα μὲν ἐς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον,
first indeed to Pylos go and ask Nestor noble
κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον·
thence and to-Sparta to fair-haired Menelaus
ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
who for last came of-the-Achaeans bronze-coated
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
if indeed — of-father life and return you-hear
ἦ τ' ἂν τρυχόμενός περ ἔτι τλαίης ἐνιαυτόν·
truly — — though-being-worn-down indeed still you-might-endure a-year

εἰ δέ κε τεθνηῶτος ἀκούσῃς μηδ' ἔτ' ἐόντος,
if but — him-dead you-hear nor longer being
νοστήσας δὴ ἔπειτα φίλην ἐς πατρίδα γαῖαν
having-returned indeed then dear to native land
σῆμά τέ οἱ χεῦαι καὶ ἐπὶ κτέρεα κτερεΐξαι
a-mound both for-him to-heap-up and over funeral-gifts to-pay
πολλὰ μάλ', ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δοῦναι.
many very as-many-as befits and to-a-husband the-mother to-give
αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
but when indeed these-things you-accomplish both and do
φράζεσθαι δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
to-consider indeed then in mind and in heart
ὅππως κε μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
how — the-suitors in halls your
κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδόν· οὐδέ τί σε χρὴ
you-may-kill either by-guile or openly nor at-all you it-befits
νηπιάας ὀχέειν, ἐπεὶ οὐκέτι τηλίκος ἐσσι.
childish-ways to-carry since no-longer of-such-age are-you
ἢ οὐκ ἀίεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
or not have-you-heard what fame won noble Orestes
πάντας ἐπ' ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα,
all among men since he-killed the-father-slayer
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα;
Aegisthus wily who his father famous killed
καὶ σύ, φίλος, μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε,
also you friend very for you I-see fair both tall and
ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
valiant be so-that anyone you even of-those-born-after well may-speak

αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη
but I to the-ship swift will-go-down now
ἠδ' ἑτάρους, οἵ πού με μάλ' ἀσχαλόωσι μένοντες·
and to-comrades who surely me much fret waiting
σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων."
to-you and yourself let-it-be-of-concern and my attend-to words
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Ξεῖν', ἦ τοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
Stranger truly indeed indeed these-things kindly intending you-speak
ὥς τε πατὴρ ᾧ παιδί, καὶ οὔ ποτε λήσομαι αὐτῶν.
as — a-father to-his-own son and not ever I-will-forget them
ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἐπειγόμενός περ ὁδοῖο,
but come now stay though-hastening indeed for-the-journey
ὄφρα λοεσσάμενός τε τεταρπόμενός τε φίλον κῆρ,
so-that having-bathed both having-been-gladdened and dear heart
δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῷ,
a-gift having to the-ship you-may-go rejoicing in heart
τιμῆεν, μάλα καλόν, ὅ τοι κειμήλιον ἔσται
precious very fair which to-you a-treasure will-be
ἐξ ἐμεῦ, οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσι."
from me such-as dear guest-friends to-guest-friends give
Τὸν δ' ἠμείβετ' ἔπειτα θεά, γλαυκῶπις Ἀθήνη·
Him and answered then the-goddess flashing-eyed Athena
"Μή μ' ἔτι νῦν κατέρυκε, λιλαιόμενόν περ ὁδοῖο.
Not me longer now hold-back longing indeed for-the-journey
δῶρον δ' ὅττι κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγῃ,
the-gift but whatever — me to-give dear heart bids

αὖτις ἀνερχομένῳ δόμεναι οἰκόνδε φέρεσθαι,
again on-my-coming-back give homeward to-carry
καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔσται ἀμοιβῆς."
and very fair having-chosen to-you and worthy will-be of-recompense
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
She indeed then so having-spoken departed flashing-eyed Athena
ὄρνις δ' ὡς ἀνόπαια διέπτατο· τῷ δ' ἐνὶ θυμῷ 320
a-bird and like up-through-the-smoke-hole she-flew to-him and in heart
θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τέ ἑ πατρὸς
she-put strength and courage reminded and him of-father
μᾶλλον ἔτ' ἢ τὸ πάροιθεν. ὁ δὲ φρεσὶν ᾗσι νοήσας
more still than — before he and in-mind his-own perceiving
θάμβησεν κατὰ θυμόν· ὀΐσατο γὰρ θεὸν εἶναι.
marveled in heart he-thought for a-god to-be
αὐτίκα δὲ μνηστῆρας ἐπῴχετο ἰσόθεος φώς.
at-once and the-suitors went-to godlike man

I.5 · PENELOPE AND PHEMIUS

Phemius sings of the Achaeans' woeful return from Troy. Penelope comes down from her room with two handmaids and, weeping, asks him to sing something else, since the song wounds her. Telemachus answers that Zeus, not the minstrel, is to blame for men's fates, and sends her back to her loom, saying speech belongs to men and to him. She goes up amazed and weeps for Odysseus until Athena sends her sleep.

Τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτός, οἱ δὲ σιωπῇ 325
To-them and the-minstrel was-singing far-famed they and in-silence
ἧατ' ἀκούοντες· ὁ δ' Ἀχαιῶν νόστον ἄειδε
sat listening he and of-the-Achaeans the-return sang
λυγρόν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη.
woeful which from Troy laid-upon(-them) Pallas Athena

τοῦ δ' ὑπερωιόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν
his and from-the-upper-room in-mind heard inspired song
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια·
daughter of-Icarius wise Penelope
κλίμακα δ' ὑψηλὴν κατεβήσετο οἷο δόμοιο,
stairway and lofty she-descended of-her-own house
οὐκ οἴη, ἅμα τῇ γε καὶ ἀμφίπολοι δύ' ἕποντο.
not alone with her indeed also handmaids two followed
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
she and when indeed the-suitors reached bright among-women
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
stood then by the-pillar of-the-roof stoutly built
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
before cheeks holding glistening veils
ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
a-handmaid and then her trusty on-either-side stood-by
δακρύσασα δ' ἔπειτα προσηύδα θεῖον ἀοιδόν·
having-wept and then she-addressed the-divine minstrel
"Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
Phemius many for other of-mortals charms you-know
ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί·
deeds of-men both of-gods and which — make-famous minstrels
τῶν ἕν γέ σφιν ἄειδε παρήμενος, οἱ δὲ σιωπῇ
of-those one indeed to-them sing sitting-by they and in-silence
οἶνον πινόντων· ταύτης δ' ἀποπαύε' ἀοιδῆς
wine let-them-drink this and cease song
λυγρῆς, ἥ τέ μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
woeful which — my always in breast dear heart
τείρει, ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
wears-away since me most has-come-upon grief unforgettable

τοίην γὰρ κεφαλὴν ποθέω μεμνημένη αἰεί,
such for a-head I-long-for remembering always
ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος."
of-a-man whose fame wide through Hellas and middle Argos
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Μῆτερ ἐμή, τί τ' ἄρα φθονέεις ἐρίηρον ἀοιδὸν
Mother my why — then do-you-begrudge the-trusty minstrel
τέρπειν ὅππῃ οἱ νόος ὄρνυται; οὔ νύ τ' ἀοιδοὶ
to-delight in-whatever-way his mind is-stirred not now — minstrels
αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅς τε δίδωσιν
to-blame but somehow Zeus to-blame who — gives
ἀνδράσιν ἀλφηστῇσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ.
to-men toiling as he-wishes to-each
τούτῳ δ' οὐ νέμεσις Δαναῶν κακὸν οἶτον ἀείδειν·
to-this-man and no cause-for-blame of-the-Danaans evil doom to-sing
τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
that for song more praise men
ἥ τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
which any to-the-listeners newest circles
σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
your and let-it-endure heart and spirit to-listen
οὐ γὰρ Ὀδυσσεὺς οἷος ἀπώλεσε νόστιμον ἦμαρ
not for Odysseus alone lost of-return day
ἐν Τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
in Troy many and also others men perished
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
but into the-chamber going those your own tasks tend

ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
loom both distaff and and the-handmaids bid
ἔργον ἐποίχεσθαι· μῦθος δ᾽ ἄνδρεσσι μελήσει
the-work to-ply speech and to-men will-be-of-concern
πᾶσι, μάλιστα δ᾽ ἐμοί· τοῦ γὰρ κράτος ἔστ᾽ ἐνὶ οἴκῳ.᾽᾽
to-all most and to-me his for power is in the-house
Ἡ μὲν θαμβήσασα πάλιν οἰκόνδε βεβήκει·
She indeed marveling back to-the-chamber went
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
of-(her)-son for the-speech prudent she-laid-up in-heart
ἐς δ᾽ ὑπερῷ᾽ ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ
to and the-upper-rooms having-gone-up with handmaid women
κλαῖεν ἔπειτ᾽ Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
she-wept then Odysseus dear husband until on-her sleep
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
sweet on eyelids cast flashing-eyed Athena

I.6 · TELEMACHUS SPEAKS OUT

Telemachus tells the suitors he will call an assembly at dawn and order them out of his house. Antinous mocks his bold speech; Eurymachus asks about the stranger, and Telemachus says he was Mentes, though he knows she was a goddess. The suitors dance until evening. Eurycleia, who nursed him, lights him to bed, where he lies awake all night planning the journey.

Μνηστῆρες δ᾽ ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα,
The-suitors and clamored throughout the-halls shadowy
πάντες δ᾽ ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
all and prayed beside (her)-in-bed to-lie
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
to-them and Telemachus prudent began of-speeches

"Μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες,
Of-mother my suitors overweening insolence having
νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
now indeed feasting let-us-take-pleasure nor shouting
ἔστω, ἐπεὶ τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
let-there-be since this fine to-listen-to is to-a-minstrel
τοιοῦδ' οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.
such as this-one is to-gods like in-voice
ἠῶθεν δ' ἀγορήνδε καθεζώμεσθα κιόντες
at-dawn and to-the-assembly let-us-sit going
πάντες, ἵν' ὔμιν μῦθον ἀπηλεγέως ἀποείπω,
all so-that to-you speech plainly I-may-declare
ἐξιέναι μεγάρων· ἄλλας δ' ἀλεγύνετε δαῖτας,
to-go-out-of the-halls other and prepare feasts
ὑμὰ κτήματ' ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
your-own possessions eating taking-turns from house(-to-house)
εἰ δ' ὔμιν δοκέει τόδε λωίτερον καὶ ἄμεινον
if but to-you seems this more-desirable and better
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
to-be of-a-man one the-livelihood unpunished to-perish
κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
consume(-it) I and the-gods will-call-on always being
αἴ κέ ποθι Ζεὺς δῷσι παλίντιτα ἔργα γενέσθαι·
if — somehow Zeus should-grant of-requital deeds to-happen
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε."
unavenged — then of-the-house within you-would-perish

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
So he-spoke they and then all with-teeth in lips growing
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
at-Telemachus marveled because boldly he-spoke

Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Him and in-turn Antinous addressed of-Eupeithes son
"Τηλέμαχ', ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
Telemachus truly very indeed you teach the-gods themselves
ὑψαγόρην τ' ἔμεναι καὶ θαρσαλέως ἀγορεύειν·
a-high-talker both to-be and boldly to-speak
μὴ σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
not you indeed in sea-girt Ithaca king the-son-of-Cronus
ποιήσειεν, ὅ τοι γενεῇ πατρώιόν ἐστιν."
may-make which to-you by-birth paternal is
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Ἀντίνο', ἦ καί μοι νεμεσήσεαι ὅττι κεν εἴπω;
Antinous truly and with-me will-you-be-indignant whatever — I-say
καί κεν τοῦτ' ἐθέλοιμι Διός γε διδόντος ἀρέσθαι.
even — this I-would-wish Zeus indeed granting to-win
ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;
or do-you-say this worst among men to-have-been-made
οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν· αἶψά τέ οἱ δῶ
not indeed for at-all bad to-be-king quickly and his house
ἀφνειὸν πέλεται καὶ τιμηέστερος αὐτός.
rich becomes and more-honored himself
ἀλλ' ἦ τοι βασιλῆες Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι
but truly indeed kings of-the-Achaeans are also others
πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέοι ἠδὲ παλαιοί,
many in sea-girt Ithaca young and old
τῶν κέν τις τόδ' ἔχησιν, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς·
of-them — someone this may-have since died noble Odysseus

αὐτὰρ ἐγὼν οἶκοιο ἄναξ ἔσομ᾽ ἡμετέροιο
but I of-the-house lord will-be our
καὶ δμώων, οὓς μοι λήισσατο δῖος Ὀδυσσεύς.”
and of-servants whom for-me won-as-plunder noble Odysseus
Τὸν δ᾽ αὖτ᾽ Εὐρύμαχος Πολύβου πάις ἀντίον ηὔδα·
Him and in-turn Eurymachus of-Polybus son in-reply spoke
“Τηλέμαχ᾽, ἦ τοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Telemachus truly indeed these-things of-the-gods on the-knees lie
ὅς τις ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλεύσει Ἀχαιῶν·
who any in sea-girt Ithaca will-be-king of-the-Achaeans
κτήματα δ᾽ αὐτὸς ἔχοις καὶ δώμασιν οἷσιν ἀνάσσοις.
possessions and yourself may-you-keep and over-house your-own may-you-rule
μὴ γὰρ ὅ γ᾽ ἔλθοι ἀνὴρ ὅς τίς σ᾽ ἀέκοντα βίηφιν
not for he indeed may-come the-man who any you unwilling by-force
κτήματ᾽ ἀπορραίσει, Ἰθάκης ἔτι ναιετοώσης.
possessions will-wrest-away of-Ithaca still being-inhabited
ἀλλ᾽ ἐθέλω σε, φέριστε, περὶ ξείνοιο ἐρέσθαι,
but I-wish you best-one about the-stranger to-ask
ὁππόθεν οὗτος ἀνήρ, ποίης δ᾽ ἐξ εὔχεται εἶναι
whence this man of-what-kind and from does-be-declare to-be
γαίης, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα.
land where and now his family and native field
ἠέ τιν᾽ ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο,
whether any message of-father he-brings coming
ἦ ἑὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ᾽ ἱκάνει;
or his-own of-himself business desiring here comes
οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ᾽ ὑπέμεινε
how darting-up straightway he-is-gone nor waited
γνώμεναι· οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐώκει.”
to-be-known not indeed for at-all to-a-base-man in face he-was-like

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Εὐρύμαχ', ἦ τοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο·
Eurymachus truly indeed the-return has-perished of-father my
οὔτ' οὖν ἀγγελίῃ ἔτι πείθομαι, εἴ ποθεν ἔλθοι,
neither then in-a-message longer do-I-trust if from-somewhere he-should-come
οὔτε θεοπροπίης ἐμπάζομαι, ἤν τινα μήτηρ
nor prophecy do-I-heed whatever — mother
ἐς μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.
into the-hall having-called a-seer inquires
ξεῖνος δ' οὗτος ἐμὸς πατρώιος ἐκ Τάφου ἐστίν,
guest-friend and this my ancestral from Taphos is
Μέντης δ' Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
Mentes and of-Anchialus wise declares to-be
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσει."
the-son but over-the-Taphians oar-loving rules
Ὣς φάτο Τηλέμαχος, φρεσὶ δ' ἀθανάτην θεὸν ἔγνω.
So spoke Telemachus in-mind but the-immortal goddess he-knew
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
They and to dancing both and lovely song
τρεψάμενοι τέρποντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
having-turned took-pleasure waited and for evening to-come
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθε·
to-them and taking-pleasure black on evening came
δὴ τότε κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος.
indeed then going-to-bed they-went homeward each
Τηλέμαχος δ', ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
Telemachus and where his chamber of-the-very-fair court
ὑψηλὸς δέδμητο περισκέπτῳ ἐνὶ χώρῳ,
lofty was-built a-conspicuous in place

ἔνθ᾽ ἔβη εἰς εὐνὴν πολλὰ φρεσὶ μερμηρίζων.
there went to bed much in-mind pondering
τῷ δ᾽ ἄρ᾽ ἅμ᾽ αἰθομένας δαΐδας φέρε κεδνὰ ἰδυῖα
with-him and then along burning torches carried careful-things knowing
Εὐρύκλει᾽, Ὦπος θυγάτηρ Πεισηνορίδαο,
Eurycleia of-Ops daughter of-Peisenor's-son
τήν ποτε Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν
whom once Laertes bought with-possessions his-own
πρωθήβην ἔτ᾽ ἐοῦσαν, ἐεικοσάβοια δ᾽ ἔδωκεν,
in-first-youth still being twenty-oxen's-worth and he-gave
ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν,
equal and her to-trusty to-wife he-honored in the-halls
εὐνῇ δ᾽ οὔ ποτ᾽ ἔμικτο, χόλον δ᾽ ἀλέεινε γυναικός·
in-bed but not ever did-he-lie-with(-her) anger and he-shunned of-the-wife
ἥ οἱ ἅμ᾽ αἰθομένας δαΐδας φέρε, καί ἑ μάλιστα
she with-him along burning torches carried and him most
δμῳάων φιλέεσκε, καὶ ἔτρεφε τυτθὸν ἐόντα.
of-the-maidservants loved and nursed little being
ὤιξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο,
he-opened and the-doors of-the-chamber stoutly built
ἕζετο δ᾽ ἐν λέκτρῳ, μαλακὸν δ᾽ ἔκδυνε χιτῶνα·
sat and on the-bed soft and he-took-off tunic
καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν.
and it indeed of-the-old-woman shrewd he-put in-hands
ἡ μὲν τὸν πτύξασα καὶ ἀσκήσασα χιτῶνα,
she indeed it having-folded and having-smoothed the-tunic

πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖσι λέχεσσι
on-a-peg having-hung beside corded bed
βῆ ῥ᾽ ἴμεν ἐκ θαλάμοιο, θύρην δ᾽ ἐπέρυσσε κορώνῃ
went then to-go out-of the-chamber the-door and she-drew-to by-the-handle
ἀργυρέῃ, ἐπὶ δὲ κληῖδ᾽ ἐτάνυσσεν ἱμάντι.
silver on and the-bolt she-drew by-the-strap
ἔνθ᾽ ὅ γε παννύχιος, κεκαλυμμένος οἰὸς ἀώτῳ,
there he indeed all-night covered of-sheep in-finest-wool
βούλευε φρεσὶν ἦσιν ὁδὸν τὴν πέφραδ᾽ Ἀθήνη.
pondered in-mind his-own the-journey which showed Athena

BOOK II

II.1 · THE ASSEMBLY

At dawn Telemachus calls the Ithacans to assembly and takes his father's seat. Old Aegyptius, whose son was eaten by the Cyclops, asks who has called them. Telemachus says the trouble is his own: his father is lost, and the suitors devour his house while refusing to go to Penelope's father to woo her. He begs the people to restrain them, saying he would rather they ate his goods themselves.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
ὄρνυτ' ἄρ' ἐξ εὐνῆφιν Ὀδυσσῆος φίλος υἱὸς
rose then from bed of-Odysseus dear son
εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
clothes having-put-on around and sword sharp he-put shoulder
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
feet and under glistening he-bound fair sandals
βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην.
went and to-go out-of the-chamber to-a-god like to-look-on
αἶψα δὲ κηρύκεσσι λιγυφθόγγοισι κέλευσε
at-once and to-the-heralds clear-voiced he-bade
κηρύσσειν ἀγορήνδε κάρη κομόωντας Ἀχαιούς.
to-summon to-the-assembly on-head long-haired Achaeans
οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.
they indeed summoned they and gathered very quickly
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
but when then they-were-gathered assembled and had-become
βῆ ῥ' ἴμεν εἰς ἀγορήν, παλάμῃ δ' ἔχε χάλκεον ἔγχος,
went then to-go into the-assembly in-hand and held bronze spear

οὐκ οἷος, ἅμα τῷ γε δύω κύνες ἀργοὶ ἕποντο.
not alone along with-him indeed two dogs swift followed
θεσπεσίην δ' ἄρα τῷ γε χάριν κατέχευεν Ἀθήνη.
wondrous and then on-him indeed grace shed Athena
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο·
him and then all the-people coming gazed-at
ἕζετο δ' ἐν πατρὸς θώκῳ, εἶξαν δὲ γέροντες.
he-sat and in of-father the-seat gave-way and the-elders
Τοῖσι δ' ἔπειθ' ἥρως Αἰγύπτιος ἦρχ' ἀγορεύειν,
To-them and then the-hero Aegyptius began to-speak
ὃς δὴ γήραϊ κυφὸς ἔην καὶ μυρία ᾔδη.
who indeed with-age bent was and countless-things knew
καὶ γὰρ τοῦ φίλος υἱὸς ἅμ' ἀντιθέῳ Ὀδυσῆι
also for his dear son with godlike Odysseus
Ἴλιον εἰς ἐύπωλον ἔβη κοίλῃς ἐνὶ νηυσίν,
Ilion to of-fine-horses went hollow in ships
Ἄντιφος αἰχμητής· τὸν δ' ἄγριος ἔκτανε Κύκλωψ
Antiphus spearman him and savage killed the-Cyclops
ἐν σπῆι γλαφυρῷ, πύματον δ' ὡπλίσσατο δόρπον.
in cave hollow last and he-prepared supper
τρεῖς δέ οἱ ἄλλοι ἔσαν, καὶ ὁ μὲν μνηστῆρσιν ὁμίλει,
three and to-him others were and one indeed among-the-suitors consorted
Εὐρύνομος, δύο δ' αἰὲν ἔχον πατρώια ἔργα.
Eurynomus two and always kept ancestral fields
ἀλλ' οὐδ' ὣς τοῦ λήθετ' ὀδυρόμενος καὶ ἀχεύων.
but not-even so him did-he-forget grieving and sorrowing
τοῦ ὅ γε δάκρυ χέων ἀγορήσατο καὶ μετέειπε·
for-him he indeed tear shedding addressed-the-assembly and spoke-among(-them)

"Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττι κεν εἴπω·
Hear indeed now me Ithacans whatever — I-say
οὔτε ποθ' ἡμετέρη ἀγορὴ γένετ' οὔτε θόωκος
neither ever our assembly was nor session
ἐξ οὗ Ὀδυσσεὺς δῖος ἔβη κοίλῃς ἐνὶ νηυσί.
from when Odysseus noble went hollow in ships
νῦν δὲ τίς ὧδ' ἤγειρε; τίνα χρειὼ τόσον ἵκει
now and who thus gathered(-us) what need so-much comes
ἠὲ νέων ἀνδρῶν ἢ οἳ προγενέστεροί εἰσιν;
whether of-young men or who older are
ἠέ τιν' ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο,
or any message of-an-army has-he-heard coming
ἥν χ' ἡμῖν σάφα εἴποι, ὅτε πρότερός γε πύθοιτο;
which — to-us clearly he-might-tell when first indeed he-learned
ἦέ τι δήμιον ἄλλο πιφαύσκεται ἠδ' ἀγορεύει;
or any public other-thing does-he-show and speak
ἐσθλός μοι δοκεῖ εἶναι, ὀνήμενος. εἴθε οἱ αὐτῷ
good to-me he-seems to-be blessed would-that for-him himself
Ζεὺς ἀγαθὸν τελέσειεν, ὅτι φρεσὶν ᾗσι μενοινᾷ."
Zeus good may-accomplish whatever in-mind his-own he-purposes
Ὣς φάτο, χαῖρε δὲ φήμῃ Ὀδυσσῆος φίλος υἱός,
So he-spoke rejoiced and at-the-omen of-Odysseus dear son
οὐδ' ἄρ' ἔτι δὴν ἧστο, μενοίνησεν δ' ἀγορεύειν,
nor then longer long did-he-sit he-was-eager and to-speak
στῆ δὲ μέσῃ ἀγορῇ· σκῆπτρον δέ οἱ ἔμβαλε χειρὶ
stood and in-the-middle assembly the-staff and his put in-hand
κῆρυξ Πεισήνωρ πεπνυμένα μήδεα εἰδώς.
the-herald Peisenor prudent counsels knowing
πρῶτον ἔπειτα γέροντα καθαπτόμενος προσέειπεν·
first then the-old-man addressing addressed

" Ὦ γέρον, οὐχ ἑκὰς οὗτος ἀνήρ, τάχα δ' εἴσεαι αὐτός,
O old-man not far this man soon and you-will-know yourself
ὃς λαὸν ἤγειρα· μάλιστα δέ μ' ἄλγος ἱκάνει.
who the-people gathered most and me pain comes-to
οὔτε τιν' ἀγγελίην στρατοῦ ἔκλυον ἐρχομένοιο,
neither any message of-an-army have-I-heard coming
ἥν χ' ὑμῖν σάφα εἴπω, ὅτε πρότερός γε πυθοίμην,
which — to-you clearly I-might-tell when first indeed I-learned
οὔτε τι δήμιον ἄλλο πιφαύσκομαι οὐδ' ἀγορεύω,
nor any public other-thing do-I-show nor speak
ἀλλ' ἐμὸν αὐτοῦ χρεῖος, ὅ μοι κακὰ ἔμπεσεν οἴκῳ
but my own need which on-me evils fell-upon in-the-house
δοιά· τὸ μὲν πατέρ' ἐσθλὸν ἀπώλεσα, ὅς ποτ' ἐν ὑμῖν
two the-one indeed father noble I-have-lost who once among you
τοίσδεσσιν βασίλευε, πατὴρ δ' ὡς ἤπιος ἦεν·
these was-king father and like gentle was
νῦν δ' αὖ καὶ πολὺ μεῖζον, ὃ δὴ τάχα οἶκον ἅπαντα
now and in-turn even far greater which indeed soon the-house all
πάγχυ διαρραίσει, βίοτον δ' ἀπὸ πάμπαν ὀλέσσει.
utterly will-tear-apart the-livelihood and away wholly will-destroy
μητέρι μοι μνηστῆρες ἐπέχραον οὐκ ἐθελούσῃ,
mother my suitors beset not willing
τῶν ἀνδρῶν φίλοι υἷες, οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι,
of-those men the-dear sons who here indeed are best
οἳ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι
who of-father indeed to the-house shrink to-go
Ἰκαρίου, ὥς κ' αὐτὸς ἐεδνώσαιτο θύγατρα,
of-Icarius so-that — himself might-give-in-marriage (his)-daughter
δοίη δ' ᾧ κ' ἐθέλοι καί οἱ κεχαρισμένος ἔλθοι·
might-give and to-whom — he-wished and to-him welcome might-come

οἱ δ' εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
they and into our(-house) going-to-and-fro days all
βοῦς ἱερεύοντες καὶ ὄις καὶ πίονας αἶγας
oxen sacrificing and sheep and fat goats
εἰλαπινάζουσιν πίνουσί τε αἴθοπα οἶνον
feast drink and sparkling wine
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται. οὐ γὰρ ἔπ' ἀνήρ,
recklessly these-things and much are-wasted not for there-is a-man
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
such-as Odysseus was ruin from the-house to-ward-off
ἡμεῖς δ' οὔ νύ τι τοῖοι ἀμυνέμεν· ἦ καὶ ἔπειτα
we and not now at-all such to-ward-off truly also hereafter
λευγαλέοι τ' ἐσόμεσθα καὶ οὐ δεδαηκότες ἀλκήν.
wretched both we-shall-be and not having-learned prowess
ἦ τ' ἂν ἀμυναίμην, εἴ μοι δύναμίς γε παρείη.
truly — — I-would-ward-off if to-me power indeed were-at-hand
οὐ γὰρ ἔτ' ἀνσχετὰ ἔργα τετεύχαται, οὐδ' ἔτι καλῶς
not for longer bearable deeds have-been-done nor longer fairly
οἶκος ἐμὸς διόλωλε. νεμεσσήθητε καὶ αὐτοί,
house my has-perished be-indignant also yourselves
ἄλλους τ' αἰδέσθητε περικτίονας ἀνθρώπους,
others and feel-shame-before neighboring men
οἳ περιναιετάουσι· θεῶν δ' ὑποδείσατε μῆνιν,
who dwell-around of-gods and dread the-wrath
μή τι μεταστρέψωσιν ἀγασσάμενοι κακὰ ἔργα.
lest at-all they-turn being-angered-at evil deeds
λίσσομαι ἠμὲν Ζηνὸς Ὀλυμπίου ἠδὲ Θέμιστος,
I-beseech both by-Zeus Olympian and by-Themis
ἥ τ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει·
who — of-men assemblies both dissolves and seats

σχέσθε, φίλοι, καί μ᾽ οἷον ἐάσατε πένθεϊ λυγρῷ
forbear friends and me alone leave by-grief woeful
τείρεσθ᾽, εἰ μή πού τι πατὴρ ἐμὸς ἐσθλὸς Ὀδυσσεὺς
to-be-worn unless — somehow at-all father my noble Odysseus
δυσμενέων κάκ᾽ ἔρεξεν ἐυκνήμιδας Ἀχαιούς,
in-enmity evils did to-well-greaved Achaeans
τῶν μ᾽ ἀποτινύμενοι κακὰ ῥέζετε δυσμενέοντες,
for-which me exacting-payment evils you-do in-enmity
τούτους ὀτρύνοντες. ἐμοὶ δέ κε κέρδιον εἴη
these urging-on to-me and — more-profitable it-would-be
ὑμέας ἐσθέμεναι κειμήλιά τε πρόβασίν τε.
you to-eat treasures both flocks and
εἴ χ᾽ ὑμεῖς γε φάγοιτε, τάχ᾽ ἄν ποτε καὶ τίσις εἴη·
if — you indeed should-eat soon — some-time also requital would-be
τόφρα γὰρ ἂν κατὰ ἄστυ ποτιπτυσσοίμεθα μύθῳ
so-long for — through the-city we-would-press with-speech
χρήματ᾽ ἀπαιτίζοντες, ἕως κ᾽ ἀπὸ πάντα δοθείη·
goods demanding-back until — back all were-given
νῦν δέ μοι ἀπρήκτους ὀδύνας ἐμβάλλετε θυμῷ.”
now but to-me hopeless pains you-cast-into heart

Antinous answers that Penelope, not the suitors, is to blame. For three years she has fed them hopes, and she tricked them with a shroud for Laertes, weaving it by day and unraveling it by night, until a maidservant betrayed her in the fourth year. He tells Telemachus to send his mother away to marry the man her father chooses; until then the suitors will stay and eat.

Ὣς φάτο χωόμενος, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
So he-spoke being-angry to and the-staff he-threw on-the-ground
δάκρυ' ἀναπρήσας· οἰκτος δ' ἔλε λαὸν ἅπαντα.
tears bursting-forth pity and seized the-people all
ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν, οὐδέ τις ἔτλη
then others indeed all silent were nor anyone dared
Τηλέμαχον μύθοισιν ἀμείψασθαι χαλεποῖσιν·
Telemachus with-words to-answer harsh
Ἀντίνοος δέ μιν οἷος ἀμειβόμενος προσέειπε·
Antinous and him alone answering addressed
"Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες
Telemachus high-talker in-spirit unchecked what have-you-said
ἡμέας αἰσχύνων· ἐθέλοις δέ κε μῶμον ἀνάψαι.
us shaming you-would-wish and — blame to-fasten
σοὶ δ' οὔ τι μνηστῆρες Ἀχαιῶν αἴτιοί εἰσιν,
to-you and not at-all the-suitors of-the-Achaeans to-blame are
ἀλλὰ φίλη μήτηρ, ἥ τοι πέρι κέρδεα οἶδεν.
but dear mother who you-know beyond crafts knows
ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον,
already for third is year soon and will-come fourth
ἐξ οὗ ἀτέμβει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
from when she-deceives the-heart in breasts of-the-Achaeans

πάντας μέν ῥ' ἔλπει καὶ ὑπίσχεται ἀνδρὶ ἑκάστῳ
all indeed then she-gives-hope and promises to-man each
ἀγγελίας προϊεῖσα, νόος δέ οἱ ἄλλα μενοινᾷ.
messages sending-forth mind but her other-things purposes
ἡ δὲ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξε·
she and trick this other in mind devised
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινε,
having-set-up great loom in the-halls she-wove
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπε·
fine and very-wide straightway and to-us spoke-among(-us)
"'Κοῦροι ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
Young-men my suitors since died noble Odysseus
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰς ὅ κε φᾶρος
wait being-eager-for the my marriage until (the-time)-when — the-robe
ἐκτελέσω, μή μοι μεταμώνια νήματ' ὄληται,
I-finish lest to-me vain the-threads perish
Λαέρτῃ ἥρωι ταφήιον, εἰς ὅτε κέν μιν
for-Laertes the-hero a-shroud against when — him
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο,
fate deadly takes-down of-grievous death
μή τίς μοι κατὰ δῆμον Ἀχαιιάδων νεμεσήσῃ.
lest any me throughout the-land of-Achaean-women should-reproach
αἴ κεν ἄτερ σπείρου κεῖται πολλὰ κτεατίσσας.'
if — without a-shroud he-lies many-things having-won
"Ὣς ἔφαθ', ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So she-spoke to-us and in-turn was-persuaded heart proud
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
then and by-day indeed she-would-weave the-great loom
νύκτας δ' ἀλλύεσκεν, ἐπεὶ δαΐδας παραθεῖτο.
by-night but would-unravel when torches she-had-set-beside

ὣς τρίετες μὲν ἔληθε δόλῳ καὶ ἔπειθεν Ἀχαιούς·
so three-years indeed she-escaped-notice by-guile and persuaded the-Achaeans
ἀλλ᾽ ὅτε τέτρατον ἦλθεν ἔτος καὶ ἐπήλυθον ὧραι,
but when fourth came the-year and came-on the-seasons
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
and then indeed one told of-the-women who clearly knew
καὶ τήν γ᾽ ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
and her indeed unraveling we-found glorious loom
ὣς τὸ μὲν ἐξετέλεσσε καὶ οὐκ ἐθέλουσ᾽ ὑπ᾽ ἀνάγκης· 110
so it indeed she-finished even not willing under compulsion
σοὶ δ᾽ ὧδε μνηστῆρες ὑποκρίνονται, ἵν᾽ εἰδῇς
to-you and thus the-suitors answer so-that you-may-know
αὐτὸς σῷ θυμῷ, εἰδῶσι δὲ πάντες Ἀχαιοί·
yourself in-your heart may-know and all the-Achaeans
μητέρα σὴν ἀπόπεμψον, ἄνωχθι δέ μιν γαμέεσθαι
mother your send-away bid and her to-marry
τῷ ὅτεῳ τε πατὴρ κέλεται καὶ ἀνδάνει αὐτῇ.
to-him to-whomever — father bids and pleases her
εἰ δ᾽ ἔτ᾽ ἀνιήσει γε πολὺν χρόνον υἷας Ἀχαιῶν, 115
if but still she-will-vex indeed long time the-sons of-the-Achaeans
τὰ φρονέουσ᾽ ἀνὰ θυμόν, ὅ οἱ πέρι δῶκεν Ἀθήνη
these-things thinking in heart which to-her beyond-others gave Athena
ἔργα τ᾽ ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλὰς
works both to-understand very-fair and wits good
κέρδεά θ᾽, οἷ᾽ οὔ πώ τιν᾽ ἀκούομεν οὐδὲ παλαιῶν,
crafts and such-as not ever any we-hear-of not-even of-the-ancient
τάων αἳ πάρος ἦσαν ἐυπλοκαμῖδες Ἀχαιαί,
of-those who before were fair-tressed Achaean-women
Τυρώ τ᾽ Ἀλκμήνη τε ἐυστέφανός τε Μυκήνη· 120
Tyro both Alcmene and well-crowned and Mycene

τάων οὔ τις ὁμοῖα νοήματα Πηνελοπείῃ
of-these not any like thoughts to-Penelope
ᾔδη· ἀτὰρ μὲν τοῦτό γ᾽ ἐναίσιμον οὐκ ἐνόησε.
knew but indeed this indeed fitting not she-devised
τόφρα γὰρ οὖν βίοτόν τε τεὸν καὶ κτήματ᾽ ἔδονται,
so-long for then the-livelihood both your and possessions they-will-eat
ὄφρα κε κείνη τοῦτον ἔχῃ νόον, ὅν τινά οἱ νῦν
as-long-as — she this has mind which whatever her now
125 ἐν στήθεσσι τιθεῖσι θεοί. μέγα μὲν κλέος αὐτῇ
in breast put the-gods great indeed fame for-herself
ποιεῖτ᾽, αὐτὰρ σοί γε ποθὴν πολέος βιότοιο.
she-makes but for-you indeed loss of-much livelihood
ἡμεῖς δ᾽ οὔτ᾽ ἐπὶ ἔργα πάρος γ᾽ ἴμεν οὔτε πῃ ἄλλῃ,
we and neither to works before indeed will-go nor anywhere else
πρίν γ᾽ αὐτὴν γήμασθαι Ἀχαιῶν ᾧ κ᾽ ἐθέλῃσι."
until indeed she-herself marry of-the-Achaeans whomever — she-wishes

II.3 · THE OMEN OF THE EAGLES

Telemachus refuses to drive out his mother and repeats his threat. Zeus sends two eagles that wheel over the assembly, tear at each other, and fly off to the right. The old seer Halitherses says the sign means Odysseus is near and bringing death to the suitors, as he foretold when Odysseus sailed. Eurymachus mocks the old man's prophecy and repeats that the suitors will stay until Penelope chooses.

Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
130 "Ἀντίνο᾽, οὔ πως ἔστι δόμων ἀέκουσαν ἀπῶσαι
Antinous not in-any-way it-is-possible from-the-house unwilling to-thrust
ἥ μ᾽ ἔτεχ᾽, ἥ μ᾽ ἔθρεψε· πατὴρ δ᾽ ἐμὸς ἄλλοθι γαίης,
who me bore who me nurtured father and my elsewhere on-earth

ζώει ὅ γ' ἦ τέθνηκε· κακὸν δέ με πόλλ' ἀποτίνειν
lives he indeed or has-died bad and me much to-repay
Ἰκαρίῳ, αἴ κ' αὐτὸς ἑκὼν ἀπὸ μητέρα πέμψω.
to-Icarius if — myself willingly away mother I-send
ἐκ γὰρ τοῦ πατρὸς κακὰ πείσομαι, ἄλλα δὲ δαίμων
from for her father evils I-shall-suffer others and the-god
δώσει, ἐπεὶ μήτηρ στυγερὰς ἀρήσετ' ἐρινῦς
will-give since mother hateful will-invoke Erinyes
οἴκου ἀπερχομένη· νέμεσις δέ μοι ἐξ ἀνθρώπων
the-house leaving blame and to-me from men
ἔσσεται· ὣς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω.
will-be so not this I ever word will-speak
ὑμέτερος δ' εἰ μὲν θυμὸς νεμεσίζεται αὐτῶν,
your and if indeed heart is-indignant yourselves
ἔξιτέ μοι μεγάρων, ἄλλας δ' ἀλεγύνετε δαῖτας
go-out to-me from-the-halls other and prepare feasts
ὑμὰ κτήματ' ἔδοντες ἀμειβόμενοι κατὰ οἴκους.
your-own possessions eating taking-turns from house(-to-house)
εἰ δ' ὔμιν δοκέει τόδε λωίτερον καὶ ἄμεινον
if but to-you seems this more-desirable and better
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
to-be of-a-man one the-livelihood unpunished to-perish
κείρετ'· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
consume(-it) I and the-gods will-call-on always being
αἴ κέ ποθι Ζεὺς δῷσι παλίντιτα ἔργα γενέσθαι.
if — somehow Zeus should-grant of-requital deeds to-happen
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε."
unavenged — then of-the-house within you-would-perish

Ὣς φάτο Τηλέμαχος, τῷ δ' αἰετὼ εὐρύοπα Ζεὺς
So spoke Telemachus for-him and two-eagles far-seeing Zeus
ὑψόθεν ἐκ κορυφῆς ὄρεος προέηκε πέτεσθαι.
from-on-high from the-peak of-the-mountain sent-forth to-fly
τὼ δ' ἔως μέν ῥ' ἐπέτοντο μετὰ πνοιῇς ἀνέμοιο
they-two and for-a-while indeed then flew with the-blasts of-the-wind
πλησίω ἀλλήλοισι τιταινομένω πτερύγεσσιν·
close to-each-other stretching with-wings
ἀλλ' ὅτε δὴ μέσσην ἀγορὴν πολύφημον ἱκέσθην,
but when indeed the-middle assembly many-voiced they-reached
ἔνθ' ἐπιδινηθέντε τιναξάσθην πτερὰ πυκνά,
there wheeling-about they-shook wings thick
ἐς δ' ἰδέτην πάντων κεφαλάς, ὄσσοντο δ' ὄλεθρον·
at and looked of-all the-heads foreboded and destruction
δρυψαμένω δ' ὀνύχεσσι παρειὰς ἀμφί τε δειρὰς
having-torn and with-talons cheeks around and necks
δεξιὼ ἤιξαν διά τ' οἰκία καὶ πόλιν αὐτῶν.
to-the-right darted through both the-houses and city of-them
θάμβησαν δ' ὄρνιθας, ἐπεὶ ἴδον ὀφθαλμοῖσιν·
marveled and at-the-birds when they-saw with-eyes
ὥρμηναν δ' ἀνὰ θυμὸν ἅ περ τελέεσθαι ἔμελλον.
they-pondered and in heart what indeed to-be-fulfilled were-about
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἁλιθέρσης
to-them and also spoke-among old hero Halitherses
Μαστορίδης· ὁ γὰρ οἷος ὁμηλικίην ἐκέκαστο
son-of-Mastor he for alone of-his-generation excelled
ὄρνιθας γνῶναι καὶ ἐναίσιμα μυθήσασθαι·
birds to-know and fateful-things to-declare
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπε·
he to-them well intending addressed-the-assembly and spoke-among(-them)

“Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττι κεν εἴπω·
Hear indeed now me Ithacans whatever — I-say
μνηστῆρσιν δὲ μάλιστα πιφαυσκόμενος τάδε εἴρω·
to-the-suitors and most declaring these-things I-say
τοῖσιν γὰρ μέγα πῆμα κυλίνδεται· οὐ γὰρ Ὀδυσσεὺς
on-them for great woe is-rolling not for Odysseus
δὴν ἀπάνευθε φίλων ὢν ἔσσεται, ἀλλά που ἤδη
long far-from friends his-own will-be but somewhere already
ἐγγὺς ἐὼν τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει
near being for-these slaughter and doom he-plants
πάντεσσιν· πολέσιν δὲ καὶ ἄλλοισιν κακὸν ἔσται,
for-all many and also for-others evil will-be
οἳ νεμόμεσθ’ Ἰθάκην ἐυδείελον. ἀλλὰ πολὺ πρὶν
who inhabit Ithaca clear-seen but long before
φραζώμεσθ’, ὥς κεν καταπαύσομεν· οἱ δὲ καὶ αὐτοὶ
let-us-consider how — we-may-stop(-them) they and also themselves
παυέσθων· καὶ γάρ σφιν ἄφαρ τόδε λώιόν ἐστιν.
let-them-stop and for for-them at-once this better is
οὐ γὰρ ἀπείρητος μαντεύομαι, ἀλλ’ ἐὺ εἰδώς·
not for untried I-prophesy but well knowing
καὶ γὰρ κείνῳ φημὶ τελευτηθῆναι ἅπαντα,
and for for-him I-say to-have-been-accomplished all
ὥς οἱ ἐμυθεόμην, ὅτε Ἴλιον εἰσανέβαινον
as to-him I-declared when Ilion went-up
Ἀργεῖοι, μετὰ δέ σφιν ἔβη πολύμητις Ὀδυσσεύς.
the-Argives with and them went of-many-wiles Odysseus
φῆν κακὰ πολλὰ παθόντ’, ὀλέσαντ’ ἄπο πάντας ἑταίρους,
I-said evils many having-suffered having-lost — all comrades

ἄγνωστον πάντεσσιν ἐεικοστῷ ἐνιαυτῷ
unknown to-all in-the-twentieth year
οἴκαδ' ἐλεύσεσθαι· τὰ δὲ δὴ νῦν πάντα τελεῖται."
homeward he-would-come these-things and indeed now all are-being-fulfilled
Τὸν δ' αὖτ' Εὐρύμαχος Πολύβου πάις ἀντίον ηὔδα·
Him and in-turn Eurymachus of-Polybus son in-reply spoke
"Ὦ γέρον, εἰ δ' ἄγε νῦν μαντεύεο σοῖσι τέκεσσιν
O old-man if and come now prophesy to-your children
οἴκαδ' ἰών, μή πού τι κακὸν πάσχωσιν ὀπίσσω·
homeward going lest somehow any evil they-suffer hereafter
ταῦτα δ' ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι.
these-things and I than-you far better to-prophesy
ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο
birds and — many under the-rays of-the-sun
φοιτῶσ', οὐδέ τε πάντες ἐναίσιμοι· αὐτὰρ Ὀδυσσεὺς
go-to-and-fro nor — all ominous but Odysseus
ὤλετο τῆλ', ὡς καὶ σὺ καταφθίσθαι σὺν ἐκείνῳ
perished far as also you to-have-perished with him
ὤφελες. οὐκ ἂν τόσσα θεοπροπέων ἀγόρευες,
you-ought not — so-many-things prophesying you-would-speak
οὐδέ κε Τηλέμαχον κεχολωμένον ὧδ' ἀνιείης,
nor — Telemachus angered thus would-you-urge-on
σῷ οἴκῳ δῶρον ποτιδέγμενος, αἴ κε πόρῃσιν.
for-your house a-gift expecting if — he-provides
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
but out to-you I-will-say this and also accomplished will-be
αἴ κε νεώτερον ἄνδρα παλαιά τε πολλά τε εἰδὼς
if — a-younger man ancient-things both many and knowing
παρφάμενος ἐπέεσσιν ἐποτρύνῃς χαλεπαίνειν,
deceiving with-words you-urge to-be-angry

αὐτῷ μέν οἱ πρῶτον ἀνιηρέστερον ἔσται,
for-himself indeed to-him first more-grievous it-will-be
πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεται εἵνεκα τῶνδε·
to-do and nevertheless not at-all he-will-be-able because-of these
σοὶ δέ, γέρον, θωὴν ἐπιθήσομεν, ἥν κ' ἐνὶ θυμῷ
on-you and old-man a-fine we-will-lay which — in heart
τίνων ἀσχάλλῃς· χαλεπὸν δέ τοι ἔσσεται ἄλγος.
paying you-may-chafe hard and to-you will-be the-pain
Τηλεμάχῳ δ' ἐν πᾶσιν ἐγὼν ὑποθήσομαι αὐτός·
to-Telemachus and among all I will-advise myself
μητέρα ἣν ἐς πατρὸς ἀνωγέτω ἀπονέεσθαι·
mother his to of-father let-him-bid to-go-back
οἱ δὲ γάμον τεύξουσι καὶ ἀρτυνέουσιν ἔεδνα
they and a-marriage will-make and will-prepare wedding-gifts
πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
many very as-many-as befits dear with a-daughter to-go
οὐ γὰρ πρὶν παύσεσθαι ὀίομαι υἷας Ἀχαιῶν
not for before to-cease I-think the-sons of-the-Achaeans
μνηστύος ἀργαλέης, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης,
from-wooing grievous since not anyone we-fear nevertheless
οὔτ' οὖν Τηλέμαχον μάλα περ πολύμυθον ἐόντα,
neither then Telemachus very though of-many-words being
οὔτε θεοπροπίης ἐμπαζόμεθ', ἣν σύ, γεραιέ,
nor prophecy do-we-heed which you old-man
μυθέαι ἀκράαντον, ἀπεχθάνεαι δ' ἔτι μᾶλλον.
declare unfulfilled you-are-hated and still more

χρήματα δ' αὖτε κακῶς βεβρώσεται, οὐδέ ποτ' ἶσα
the-goods and in-turn evilly will-be-devoured nor ever equal
ἔσσεται, ὄφρα κεν ἥ γε διατρίβῃσιν Ἀχαιοὺς
it-will-be as-long-as — she indeed puts-off the-Achaeans
205 ὃν γάμον· ἡμεῖς δ' αὖ ποτιδέγμενοι ἤματα πάντα
in-her marriage we and in-turn waiting days all
εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν, οὐδὲ μετ' ἄλλας
because-of her excellence strive nor after others
ἐρχόμεθ', ἃς ἐπιεικὲς ὀπυιέμεν ἐστὶν ἑκάστῳ."
go whom fitting to-wed it-is for-each

II.4 · MENTOR AND LEOCRITUS

Telemachus asks for a ship and twenty men to sail to Pylos and Sparta for news of his father. Mentor, whom Odysseus left in charge of his house, rebukes the people for sitting silent. Leocritus answers that even Odysseus, if he came, could not fight so many suitors, and dissolves the assembly. The suitors go to Odysseus' house.

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
"Εὐρύμαχ' ἠδὲ καὶ ἄλλοι, ὅσοι μνηστῆρες ἀγαυοί,
Eurymachus and also others as-many-as suitors lordly
210 ταῦτα μὲν οὐχ ὑμέας ἔτι λίσσομαι οὐδ' ἀγορεύω·
these-things indeed not you longer I-beseech nor speak-of
ἤδη γὰρ τὰ ἴσασι θεοὶ καὶ πάντες Ἀχαιοί.
already for these-things know the-gods and all the-Achaeans
ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
but come to-me give a-ship swift and twenty comrades
οἵ κέ μοι ἔνθα καὶ ἔνθα διαπρήσσωσι κέλευθον.
who — for-me this-way and that-way may-accomplish the-voyage

εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
I-go for to Sparta both and to Pylos sandy
νόστον πευσόμενος πατρὸς δὴν οἰχομένοιο,
return to-inquire-about of-father long gone
ἤν τίς μοι εἴπῃσι βροτῶν ἢ ὄσσαν ἀκούσω
if anyone to-me should-tell of-mortals or a-rumor I-hear
ἐκ Διός, ἥ τε μάλιστα φέρει κλέος ἀνθρώποισιν·
from Zeus which — most brings report to-men
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω,
if indeed — of-father life and return I-hear
ἦ τ' ἄν, τρυχόμενός περ, ἔτι τλαίην ἐνιαυτόν·
truly — — being-worn-down though still I-might-endure a-year
εἰ δέ κε τεθνηῶτος ἀκούσω μηδ' ἔτ' ἐόντος,
if but — him-dead I-hear nor longer being
νοστήσας δὴ ἔπειτα φίλην ἐς πατρίδα γαῖαν
having-returned indeed then dear to native land
σῆμά τέ οἱ χεύω καὶ ἐπὶ κτέρεα κτερείξω
a-mound both for-him I-will-heap and over funeral-gifts I-will-pay
πολλὰ μάλ', ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δώσω."
many very as-many-as befits and to-a-husband the-mother I-will-give
Ἦ τοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο, τοῖσι δ' ἀνέστη
Truly indeed he indeed so having-spoken down then sat to-them and stood-up
Μέντωρ, ὅς ῥ' Ὀδυσῆος ἀμύμονος ἦεν ἑταῖρος,
Mentor who then of-Odysseus blameless was comrade
καί οἱ ἰὼν ἐν νηυσὶν ἐπέτρεπεν οἶκον ἅπαντα,
and to-him going in ships had-entrusted the-house all
πείθεσθαί τε γέροντι καὶ ἔμπεδα πάντα φυλάσσειν·
to-obey both the-old-man and steadfast all-things to-guard
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them well intending addressed-the-assembly and spoke-among(-them)

"Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅττι κεν εἴπω·
Hear indeed now me Ithacans whatever — I-say
μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
not any longer kindly gentle and mild let-him-be
σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς,
sceptered king nor in-mind righteous-things knowing
ἀλλ' αἰεὶ χαλεπός τ' εἴη καὶ αἴσυλα ῥέζοι·
but always harsh — may-be-be and wicked-things may-do
ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
since not any remembers Odysseus godlike
λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὡς ἤπιος ἦεν.
of-the-people whom he-ruled father and like gentle was
ἀλλ' ἦ τοι μνηστῆρας ἀγήνορας οὔ τι μεγαίρω
but truly indeed the-suitors proud not at-all I-grudge
ἔρδειν ἔργα βίαια κακορραφίῃσι νόοιο·
to-do deeds violent in-evil-contrivings of-mind
σφὰς γὰρ παρθέμενοι κεφαλὰς κατέδουσι βιαίως
their-own for staking heads they-devour violently
οἶκον Ὀδυσσῆος, τὸν δ' οὐκέτι φασὶ νέεσθαι.
the-house of-Odysseus him and no-longer they-say to-return
νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι, οἷον ἅπαντες
now and with-the-other people I-am-indignant how all
ἧσθ' ἄνεῳ, ἀτὰρ οὔ τι καθαπτόμενοι ἐπέεσσι
you-sit silent but not at-all assailing with-words
παύρους μνηστῆρας καταπαύετε πολλοὶ ἐόντες."
few suitors you-check many being

Τὸν δ' Εὐηνορίδης Λειώκριτος ἀντίον ηὔδα·
Him and son-of-Euenor Leocritus in-reply spoke
"Μέντορ ἀταρτηρέ, φρένας ἠλεέ, ποῖον ἔειπες
Mentor mischievous in-wits wandering what have-you-said
ἡμέας ὀτρύνων καταπαυέμεν. ἀργαλέον δὲ
us urging to-check(-us) hard and(-it-is)
ἀνδράσι καὶ πλεόνεσσι μαχήσασθαι περὶ δαιτί.
for-men even more to-fight about a-feast
εἴ περ γάρ κ' Ὀδυσεὺς Ἰθακήσιος αὐτὸς ἐπελθὼν
if indeed for — Odysseus of-Ithaca himself coming
δαινυμένους κατὰ δῶμα ἑὸν μνηστῆρας ἀγαυοὺς
feasting in house his-own suitors lordly
ἐξελάσαι μεγάροιο μενοινήσει' ἐνὶ θυμῷ,
to-drive out-of-the-hall should-be-eager in heart
οὔ κέν οἱ κεχάροιτο γυνή, μάλα περ χατέουσα,
not — him would-rejoice-in the-wife very though longing
ἐλθόντ', ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι,
having-come but — there unseemly doom he-would-meet
εἰ πλεόνεσσι μάχοιτο· σὺ δ' οὐ κατὰ μοῖραν ἔειπες.
if with-more he-should-fight you and not according-to due have-spoken
ἀλλ' ἄγε, λαοὶ μὲν σκίδνασθ' ἐπὶ ἔργα ἕκαστος,
but come people indeed scatter to works each
τούτῳ δ' ὀτρυνέει Μέντωρ ὁδὸν ἠδ' Ἁλιθέρσης,
for-this-one and will-speed Mentor the-journey and Halitherses
οἵ τέ οἱ ἐξ ἀρχῆς πατρώιοί εἰσιν ἑταῖροι.
who — his from the-beginning ancestral are comrades
ἀλλ' ὀίω, καὶ δηθὰ καθήμενος ἀγγελιάων
but I-think even long sitting of-messages
πεύσεται εἰν Ἰθάκῃ, τελέει δ' ὁδὸν οὔ ποτε ταύτην."
he-will-learn in Ithaca will-accomplish but the-journey not ever this

Ὣς ἄρ᾽ ἐφώνησεν, λῦσεν δ᾽ ἀγορὴν αἰψηρήν.
So then he-spoke dissolved and the-assembly quick
οἱ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὰ πρὸς δώμαθ᾽ ἕκαστος,
they indeed then scattered their-own to houses each
μνηστῆρες δ᾽ ἐς δώματ᾽ ἴσαν θείου Ὀδυσῆος.
the-suitors and to the-house went of-godlike Odysseus

II.5 · ATHENA AS MENTOR

On the shore Telemachus prays to the god who visited him. Athena comes in the likeness of Mentor, tells him he has his father's spirit, and promises to find him a ship and crew while he gathers provisions. At the house Antinous laughs and offers him food, but Telemachus pulls his hand away and vows to bring doom on the suitors. They mock him, wondering whether he will fetch men from Pylos or poison from Ephyra.

Τηλέμαχος δ᾽ ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης,
Telemachus and apart going to the-shore of-the-sea
χεῖρας νιψάμενος πολιῆς ἁλὸς εὔχετ᾽ Ἀθήνῃ·
hands having-washed in-gray sea prayed to-Athena
"Κλῦθί μευ, ὃ χθιζὸς θεὸς ἤλυθες ἡμέτερον δῶ
Hear me you-who yesterday a-god came-to our house
καί μ᾽ ἐν νηὶ κέλευσας ἐπ᾽ ἠεροειδέα πόντον
and me in a-ship bade over misty sea
νόστον πευσόμενον πατρὸς δὴν οἰχομένοιο
return to-inquire-about of-father long gone
ἔρχεσθαι· τὰ δὲ πάντα διατρίβουσιν Ἀχαιοί,
to-go these-things and all delay the-Achaeans
μνηστῆρες δὲ μάλιστα κακῶς ὑπερηνορέοντες."
the-suitors and most evilly overbearing

Ὣς ἔφατ᾽ εὐχόμενος, σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
So he-spoke praying near and to-him came Athena
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν,
to-Mentor likened both in-form and also in-voice
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
“Τηλέμαχ᾽, οὐδ᾽ ὄπιθεν κακὸς ἔσσεαι οὐδ᾽ ἀνοήμων, 270
Telemachus not-even hereafter base will-you-be nor witless
εἰ δή τοι σοῦ πατρὸς ἐνέστακται μένος ἠύ,
if indeed in-you of-your father has-been-instilled spirit good
οἷος κεῖνος ἔην τελέσαι ἔργον τε ἔπος τε·
such-as he was to-accomplish deed both word and
οὔ τοι ἔπειθ᾽ ἁλίη ὁδὸς ἔσσεται οὐδ᾽ ἀτέλεστος.
not for-you then vain the-journey will-be nor unfulfilled
εἰ δ᾽ οὐ κείνου γ᾽ ἐσσὶ γόνος καὶ Πηνελοπείης,
if but not of-him indeed you-are the-offspring and of-Penelope
οὐ σέ γ᾽ ἔπειτα ἔολπα τελευτήσειν, ἃ μενοινᾷς. 275
not you indeed then I-expect to-accomplish what you-purpose
παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
few for you-know sons like to-father become
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
the more worse few and — than-father better
ἀλλ᾽ ἐπεὶ οὐδ᾽ ὄπιθεν κακὸς ἔσσεαι οὐδ᾽ ἀνοήμων,
but since not-even hereafter base will-you-be nor witless
οὐδέ σε πάγχυ γε μῆτις Ὀδυσσῆος προλέλοιπεν,
nor you wholly indeed the-wit of-Odysseus has-forsaken
ἐλπωρή τοι ἔπειτα τελευτῆσαι τάδε ἔργα. 280
hope for-you then to-accomplish these deeds

τῶ νῦν μνηστήρων μὲν ἔα βουλήν τε νόον τε
therefore now of-the-suitors indeed let-be plan both mind and
ἀφραδέων, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι·
senseless since not at-all wise nor just
οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν,
nor at-all do-they-know death and doom black
ὃς δή σφι σχεδόν ἐστιν, ἐπ' ἤματι πάντας ὀλέσθαι.
which indeed to-them near is on (one)-day all to-perish
σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται ἣν σὺ μενοινᾷς·
to-you and the-journey no-longer long will-be-far which you purpose
τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώιός εἰμι,
such for you-know comrade I ancestral am
ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός.
who for-you a-ship swift will-equip and with(-you) will-follow myself
ἀλλὰ σὺ μὲν πρὸς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει,
but you indeed to the-house going among-the-suitors mingle
ὅπλισσόν τ' ἤια καὶ ἄγγεσιν ἄρσον ἅπαντα,
prepare and provisions and in-vessels pack all
οἶνον ἐν ἀμφιφορεῦσι, καὶ ἄλφιτα, μυελὸν ἀνδρῶν,
wine in jars and barley-meal marrow of-men
δέρμασιν ἐν πυκινοῖσιν· ἐγὼ δ' ἀνὰ δῆμον ἑταίρους
skins in stout I and throughout the-people comrades
αἶψ' ἐθελοντῆρας συλλέξομαι. εἰσὶ δὲ νῆες
quickly volunteers will-gather there-are and ships
πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέαι ἠδὲ παλαιαί·
many in sea-girt Ithaca new and old
τάων μέν τοι ἐγὼν ἐπιόψομαι ἥ τις ἀρίστη,
of-these indeed for-you I will-look-over which any best
ὦκα δ' ἐφοπλίσσαντες ἐνήσομεν εὐρέι πόντῳ."
quickly and having-fitted-out we-will-launch(-her) on-the-wide sea

Ὣς φάτ᾽ Ἀθηναίη κούρη Διός· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
So spoke Athena daughter of-Zeus nor then longer long
Τηλέμαχος παρέμμενεν, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
Telemachus waited since of-a-god he-heard the-voice
βῆ δ᾽ ἰέναι πρὸς δῶμα, φίλον τετιημένος ἦτορ,
went and to-go to the-house dear grieved heart
εὗρε δ᾽ ἄρα μνηστῆρας ἀγήνορας ἐν μεγάροισιν,
found and then the-suitors proud in the-halls
αἶγας ἀνιεμένους σιάλους θ᾽ εὓοντας ἐν αὐλῇ. 300
goats flaying swine and singeing in the-court
Ἀντίνοος δ᾽ ἰθὺς γελάσας κίε Τηλεμάχοιο,
Antinous and straight laughing went-to Telemachus
ἔν τ᾽ ἄρα οἱ φῦ χειρί, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
in — then his he-clung to-hand word and spoke out and named(-him)
“Τηλέμαχ᾽ ὑψαγόρη, μένος ἄσχετε, μή τί τοι ἄλλο
Telemachus high-talker in-spirit unchecked not any to-you other
ἐν στήθεσσι κακὸν μελέτω ἔργον τε ἔπος τε,
in breast evil let-be-of-concern deed both word and
ἀλλά μοι ἐσθιέμεν καὶ πινέμεν, ὡς τὸ πάρος περ. 305
but with-me to-eat and to-drink as the before indeed
ταῦτα δέ τοι μάλα πάντα τελευτήσουσιν Ἀχαιοί,
these-things and for-you very all will-accomplish the-Achaeans
νῆα καὶ ἐξαίτους ἐρέτας, ἵνα θᾶσσον ἵκηαι
ship and chosen rowers so-that more-quickly you-may-reach
ἐς Πύλον ἠγαθέην μετ᾽ ἀγαυοῦ πατρὸς ἀκουήν.”
to Pylos sacred for of-noble father tidings

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
" Ἀντίνο', οὔ πως ἔστιν ὑπερφιάλοισι μεθ' ὑμῖν
Antinous not in-any-way it-is-possible overbearing among you
δαίνυσθαί τ' ἀκέοντα καὶ εὐφραίνεσθαι ἔκηλον.
to-feast both silent and to-make-merry at-ease
ἦ οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ ἐσθλὰ
truly not enough that — before you-consumed many and good
κτήματ' ἐμά, μνηστῆρες, ἐγὼ δ' ἔτι νήπιος ἦα;
possessions my suitors I and still a-child was
νῦν δ' ὅτε δὴ μέγας εἰμὶ καὶ ἄλλων μῦθον ἀκούων
now but when indeed big I-am and of-others the-word hearing
πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός,
I-learn and indeed in-me grows within spirit
πειρήσω, ὥς κ' ὔμμι κακὰς ἐπὶ κῆρας ἰήλω,
I-will-try how — on-you evil upon dooms I-may-send
ἠὲ Πύλονδ' ἐλθών, ἢ αὐτοῦ τῷδ' ἐνὶ δήμῳ.
whether to-Pylos going or here this in land
εἶμι μέν, οὐδ' ἁλίη ὁδὸς ἔσσεται ἣν ἀγορεύω,
I-go indeed nor vain the-journey will-be which I-speak-of
ἔμπορος· οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων
a-passenger not for of-a-ship possessed nor of-rowers
γίγνομαι· ὥς νύ που ὔμμιν ἐείσατο κέρδιον εἶναι."
I-am so now surely to-you it-seemed more-profitable to-be
Ἦ ῥα, καὶ ἐκ χειρὸς χεῖρα σπάσατ' Ἀντινόοιο
He-spoke then and from the-hand hand he-drew of-Antinous
ῥεῖα· μνηστῆρες δὲ δόμον κάτα δαῖτα πένοντο.
easily the-suitors and the-house throughout the-feast were-busy-with

οἱ δ' ἐπελώβευον καὶ ἐκερτόμεον ἐπέεσσιν.
they and mocked and jeered with-words
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
thus and one would-say of-the-youths overbearing
"Ἦ μάλα Τηλέμαχος φόνον ἡμῖν μερμηρίζει.
Truly very Telemachus slaughter for-us devises
ἤ τινας ἐκ Πύλου ἄξει ἀμύντορας ἠμαθόεντος
either some from Pylos he-will-bring defenders sandy
ἠ ὅ γε καὶ Σπάρτηθεν, ἐπεί νύ περ ἴεται αἰνῶς·
or he indeed also from-Sparta since now indeed he-longs terribly
ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλει, πίειραν ἄρουραν,
or also to Ephyra he-wishes rich land
ἐλθεῖν, ὄφρ' ἔνθεν θυμοφθόρα φάρμακ' ἐνείκῃ,
to-go so-that thence soul-destroying drugs he-may-bring
ἐν δὲ βάλῃ κρητῆρι καὶ ἡμέας πάντας ὀλέσσῃ."
in and may-cast in-the-mixing-bowl and us all may-destroy
Ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων·
Another and in-turn would-say of-the-youths overbearing
"Τίς δ' οἶδ', εἴ κε καὶ αὐτὸς ἰὼν κοίλης ἐπὶ νηὸς
Who and knows if — also himself going hollow on ship
τῆλε φίλων ἀπόληται ἀλώμενος ὥς περ Ὀδυσσεύς;
far from-friends may-perish wandering as indeed Odysseus
οὕτω κεν καὶ μᾶλλον ὀφέλλειεν πόνον ἄμμιν·
thus — even more he-would-increase toil for-us
κτήματα γάρ κεν πάντα δασαίμεθα, οἰκία δ' αὖτε
possessions for — all we-should-divide the-house and in-turn
τούτου μητέρι δοῖμεν ἔχειν ἠδ' ὅς τις ὀπυίοι."
of-him to-mother we-should-give to-hold and who any might-wed(-her)

Telemachus has Eurycleia fill jars of wine and sacks of barley, and makes her swear not to tell his mother for twelve days. Athena, in Telemachus' likeness, gathers a crew, borrows a ship from Noemon, and pours sleep on the suitors. Then, as Mentor, she leads Telemachus to the ship. They set sail at nightfall with a fair west wind, pour libations to the gods, and sail through the night.

Ὣς φάν, ὁ δ' ὑψόροφον θάλαμον κατεβήσετο πατρὸς
So they-spoke he and high-roofed chamber went-down-into of-father
εὐρύν, ὅθι νητὸς χρυσὸς καὶ χαλκὸς ἔκειτο
wide where heaped gold and bronze lay
ἐσθής τ' ἐν χηλοῖσιν ἅλις τ' ἐνῶδες ἔλαιον·
clothing and in chests in-plenty and fragrant oil
ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο
in and jars of-wine old sweet-to-drink
ἕστασαν, ἄκρητον θεῖον ποτὸν ἐντὸς ἔχοντες,
stood unmixed divine drink within holding
ἑξείης ποτὶ τοῖχον ἀρηρότες, εἴ ποτ' Ὀδυσσεὺς
in-a-row against the-wall fitted if ever Odysseus
οἴκαδε νοστήσειε καὶ ἄλγεα πολλὰ μογήσας.
homeward should-return even pains many having-suffered
κλῃσταὶ δ' ἔπεσαν σανίδες πυκινῶς ἀραρυῖαι,
closing and fell the-doors stoutly fitted
δικλίδες· ἐν δὲ γυνὴ ταμίη νύκτας τε καὶ ἦμαρ
double-leaved in and a-woman housekeeper by-nights both and day
ἔσχ', ἣ πάντ' ἐφύλασσε νόου πολυϊδρείῃσιν,
was who all guarded of-mind with-much-cunning

Εὐρύκλει᾽, Ὦπος θυγάτηρ Πεισηνορίδαο.
Eurycleia of-Ops daughter of-Peisenor's-son
τὴν τότε Τηλέμαχος προσέφη θαλαμόνδε καλέσσας·
her then Telemachus addressed into-the-chamber having-called
"Μαῖ, ἄγε δή μοι οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσον
Nurse come indeed for-me wine in jars draw
ἡδύν, ὅτις μετὰ τὸν λαρώτατος ὃν σὺ φυλάσσεις
sweet which after that most-delicious which you guard
κεῖνον ὀιομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι
him expecting the ill-fated if from-somewhere he-should-come
διογενὴς Ὀδυσεὺς θάνατον καὶ κῆρας ἀλύξας.
Zeus-born Odysseus death and dooms having-escaped
δώδεκα δ᾽ ἔμπλησον καὶ πώμασιν ἄρσον ἅπαντας.
twelve and fill and with-lids close all
ἐν δέ μοι ἄλφιτα χεῦον ἐυρραφέεσσι δοροῖσιν·
in and for-me barley-meal pour in-well-sewn skins
εἴκοσι δ᾽ ἔστω μέτρα μυληφάτου ἀλφίτου ἀκτῆς.
twenty and let-be measures of-mill-ground of-barley of-meal
αὐτὴ δ᾽ οἴη ἴσθι· τὰ δ᾽ ἀθρόα πάντα τετύχθω·
yourself and alone know these and gathered all let-be-made-ready
ἑσπέριος γὰρ ἐγὼν αἱρήσομαι, ὁππότε κεν δὴ
in-the-evening for I will-take(-them) when — indeed
μήτηρ εἰς ὑπερῷ᾽ ἀναβῇ κοίτου τε μέδηται.
mother into the-upper-rooms goes-up of-bed and is-mindful
εἶμι γὰρ ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
I-go for to Sparta both and to Pylos sandy
νόστον πευσόμενος πατρὸς φίλου, ἤν που ἀκούσω."
return to-inquire-about of-father dear if somewhere I-may-hear

Ὣς φάτο, κώκυσεν δὲ φίλη τροφὸς Εὐρύκλεια,
So he-spoke wailed and dear nurse Eurycleia
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
and then lamenting words winged addressed
"Τίπτε δέ τοι, φίλε τέκνον, ἐνὶ φρεσὶ τοῦτο νόημα
Why and to-you dear child in mind this thought
ἔπλετο; πῇ δ' ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν
came where and do-you-wish to-go much over land
μοῦνος ἐὼν ἀγαπητός; ὁ δ' ὤλετο τηλόθι πάτρης
only being beloved he and perished far-from (his)-country
διογενὴς Ὀδυσεὺς ἀλλογνώτῳ ἐνὶ δήμῳ.
Zeus-born Odysseus a-strange in land
οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω,
they and against-you at-once going evil-things will-devise hereafter
ὥς κε δόλῳ φθίῃς, τάδε δ' αὐτοὶ πάντα δάσονται.
so-that — by-guile you-may-perish these-things and themselves all will-divide
ἀλλὰ μέν' αὖθ' ἐπὶ σοῖσι καθήμενος· οὐδέ τί σε χρὴ
but stay here over your-own sitting nor at-all you it-befits
πόντον ἐπ' ἀτρύγετον κακὰ πάσχειν οὐδ' ἀλάλησθαι."
the-sea over barren evils to-suffer nor to-wander
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Θάρσει, μαῖ', ἐπεὶ οὔ τοι ἄνευ θεοῦ ἥδε γε βουλή.
Take-heart nurse since not you-know without a-god this indeed plan
ἀλλ' ὄμοσον μὴ μητρὶ φίλῃ τάδε μυθήσασθαι,
but swear not to-mother dear these-things to-tell
πρίν γ' ὅτ' ἂν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται,
before indeed when — eleventh both twelfth and comes

ἢ αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι,
or she-herself to-miss(-me) and of-my-having-set-out to-hear
ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃ."
so-that — not weeping over skin fair she-may-mar
Ὣς ἄρ' ἔφη, γρῆυς δὲ θεῶν μέγαν ὅρκον ἀπώμνυ.
So then he-spoke the-old-woman and of-the-gods great oath swore
αὐτὰρ ἐπεί ῥ' ὅμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
but when then she-swore both completed and the oath
αὐτίκ' ἔπειτά οἱ οἶνον ἐν ἀμφιφορεῦσιν ἄφυσσεν,
at-once then for-him wine in jars she-drew
ἐν δέ οἱ ἄλφιτα χεῦεν ἐυρραφέεσσι δοροῖσι.
in and for-him barley-meal poured in-well-sewn skins
Τηλέμαχος δ' ἐς δώματ' ἰὼν μνηστῆρσιν ὁμίλει.
Telemachus and to the-house going among-the-suitors mingled
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη.
Then in-turn another-thing thought the-goddess flashing-eyed Athena
Τηλεμάχῳ ἐικυῖα κατὰ πτόλιν ᾤχετο πάντῃ,
to-Telemachus like through the-city went everywhere
καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον,
and then to-each man standing-beside spoke speech
ἑσπερίους δ' ἐπὶ νῆα θοὴν ἀγέρεσθαι ἀνώγει.
in-the-evening and at the-ship swift to-gather she-bade
ἡ δ' αὖτε Φρονίοιο Νοήμονα φαίδιμον υἱὸν
she and in-turn of-Phronius Noemon glorious son
ᾔτεε νῆα θοήν· ὁ δέ οἱ πρόφρων ὑπέδεκτο.
asked a-ship swift he and to-her kindly promised

Δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί,
Set and the-sun were-darkened and all the-streets
καὶ τότε νῆα θοὴν ἅλαδ᾽ εἴρυσε, πάντα δ᾽ ἐν αὐτῇ
and then the-ship swift to-the-sea she-drew all and in it
ὅπλ᾽ ἐτίθει, τά τε νῆες ἐύσσελμοι φορέουσι.
tackle she-put which — ships well-decked carry
στῆσε δ᾽ ἐπ᾽ ἐσχατιῇ λιμένος, περὶ δ᾽ ἐσθλοὶ ἑταῖροι
moored(-it) and at the-edge of-the-harbor around and the-good comrades
ἀθρόοι ἠγερέθοντο· θεὰ δ᾽ ὤτρυνεν ἕκαστον.
in-a-throng gathered the-goddess and urged each
Ἔνθ᾽ αὖτ᾽ ἄλλ᾽ ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη.
Then in-turn another-thing thought the-goddess flashing-eyed Athena
βῆ ῥ᾽ ἰέναι πρὸς δώματ᾽ Ὀδυσσῆος θείοιο·
went then to-go to the-house of-Odysseus godlike
ἔνθα μνηστήρεσσιν ἐπὶ γλυκὺν ὕπνον ἔχευε,
there on-the-suitors over sweet sleep she-poured
πλάζε δὲ πίνοντας, χειρῶν δ᾽ ἔκβαλλε κύπελλα.
she-made-wander and drinking from-hands and she-made-fall the-cups
οἱ δ᾽ εὖδειν ὤρνυντο κατὰ πτόλιν, οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
they and to-sleep rose through the-city nor then longer long
ἥαται, ἐπεί σφισιν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν.
sat since on-them sleep on eyelids fell
αὐτὰρ Τηλέμαχον προσέφη γλαυκῶπις Ἀθήνη
but Telemachus addressed flashing-eyed Athena
ἐκπροκαλεσσαμένη μεγάρων ἐὺ ναιεταόντων,
having-called-forth from-the-halls well dwelt-in
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
to-Mentor likened both in-form and also in-voice

"Τηλέμαχ', ἤδη μέν τοι ἐυκνήμιδες ἑταῖροι
Telemachus already indeed you-know well-greaved comrades
ἥατ' ἐπήρετμοι τὴν σὴν ποτιδέγμενοι ὁρμήν·
sit at-the-oars the your awaiting setting-out
ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο."
but let-us-go not long let-us-delay of-the-journey
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
So then having-spoken led-the-way Pallas Athena
καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
swiftly he and then after the-tracks went of-the-goddess
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
but when then to the-ship they-had-come-down and the-sea
εὗρον ἔπειτ' ἐπὶ θινὶ κάρη κομόωντας ἑταίρους.
they-found then on the-shore on-head long-haired comrades
τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἶς Τηλεμάχοιο·
to-them and also spoke-among the-sacred might of-Telemachus
"Δεῦτε, φίλοι, ἤια φερώμεθα· πάντα γὰρ ἤδη
Come-here friends provisions let-us-carry all for already
ἀθρό' ἐνὶ μεγάρῳ. μήτηρ δ' ἐμὴ οὔ τι πέπυσται,
gathered in the-hall mother and my not at-all has-learned
οὐδ' ἄλλαι δμωαί, μία δ' οἴη μῦθον ἄκουσεν."
nor other maidservants one and alone the-word heard
Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο.
So then having-spoken he-led-the-way they and with(-him) followed
οἱ δ' ἄρα πάντα φέροντες ἐυσσέλμῳ ἐπὶ νηὶ
they and then all carrying well-decked on ship
κάτθεσαν, ὡς ἐκέλευσεν Ὀδυσσῆος φίλος υἱός.
put-down as bade of-Odysseus dear son
ἂν δ' ἄρα Τηλέμαχος νηὸς βαΐν', ἦρχε δ' Ἀθήνη,
up and then Telemachus the-ship went led and Athena

νηὶ δ᾽ ἐνὶ πρυμνῇ κατ᾽ ἄρ᾽ ἕζετο· ἄγχι δ᾽ ἄρ᾽ αὐτῆς
ship and in stern down then sat near and then her
ἕζετο Τηλέμαχος. τοὶ δὲ πρυμνήσι᾽ ἔλυσαν,
sat Telemachus they and the-stern-cables loosed
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθῖζον.
up and also themselves going on benches sat
τοῖσιν δ᾽ ἴκμενον οὖρον ἵει γλαυκῶπις Ἀθήνη,
for-them and favorable fair-wind sent flashing-eyed Athena
ἀκραὴ Ζέφυρον, κελάδοντ᾽ ἐπὶ οἶνοπα πόντον.
fresh-blowing Zephyr roaring over wine-dark sea
Τηλέμαχος δ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσεν
Telemachus and the-comrades urging bade
ὅπλων ἅπτεσθαι· τοὶ δ᾽ ὀτρύνοντος ἄκουσαν.
the-tackle to-lay-hold-of they and urging heard
ἱστὸν δ᾽ εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης
the-mast and of-fir hollow inside the-mast-box
στῆσαν ἀείραντες, κατὰ δὲ προτόνοισιν ἔδησαν,
set raising down and with-forestays bound
ἕλκον δ᾽ ἱστία λευκὰ ἐυστρέπτοισι βοεῦσιν.
hauled and sails white with-well-twisted ox-hide-ropes
ἔπρησεν δ᾽ ἄνεμος μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
blew and the-wind the-middle sail around and the-wave
στείρῃ πορφύρεον μεγάλ᾽ ἴαχε νηὸς ἰούσης·
at-the-stem dark-gleaming loudly roared the-ship going
ἡ δ᾽ ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
she and ran over the-wave accomplishing the-voyage
δησάμενοι δ᾽ ἄρα ὅπλα θοὴν ἀνὰ νῆα μέλαιναν
having-made-fast and then the-tackle swift throughout ship black
στήσαντο κρητῆρας ἐπιστεφέας οἴνοιο,
set-up mixing-bowls brimming with-wine

λείβον δ᾽ ἀθανάτοισι θεοῖς αἰειγενέτῃσιν,
poured-libations and to-immortal gods everlasting
ἐκ πάντων δὲ μάλιστα Διὸς γλαυκώπιδι κούρῃ.
of all and most of-Zeus flashing-eyed to-the-daughter
παννυχίη μέν ῥ᾽ ἥ γε καὶ ἠῶ πεῖρε κέλευθον.
all-night indeed then she indeed and at-dawn traversed the-voyage

---

BOOK III

III.1 · ARRIVAL AT PYLOS

At sunrise the ship reaches Pylos, where the people are sacrificing black bulls to Poseidon on the shore. Athena tells the shy Telemachus to ask Nestor boldly. Nestor's son Peisistratus welcomes them and asks Athena, as the elder, to pray to Poseidon first. After the feast Nestor asks who they are, and Telemachus asks for news of his father.

Ἠέλιος δ' ἀνόρουσε, λιπὼν περικαλλέα λίμνην,
The-sun and leapt-up leaving very-fair mere
οὐρανὸν ἐς πολύχαλκον, ἵν' ἀθανάτοισι φαείνοι
heaven into all-bronze so-that to-immortals it-might-shine
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
and to-mortal men over grain-giving earth
οἱ δὲ Πύλον, Νηλῆος ἐυκτίμενον πτολίεθρον,
they and Pylos of-Neleus well-built citadel
ἶξον· τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον,
reached they and on the-shore of-the-sea sacrifices were-offering
ταύρους παμμέλανας, ἐνοσίχθονι κυανοχαίτῃ.
bulls all-black to-the-earth-shaker dark-haired
ἐννέα δ' ἕδραι ἔσαν, πεντακόσιοι δ' ἐν ἑκάστῃ
nine and companies were five-hundred and in each
ἧατο καὶ προύχοντο ἑκάστοθι ἐννέα ταύρους.
sat and held-forth in-each nine bulls
εὖθ' οἱ σπλάγχνα πάσαντο, θεῷ δ' ἐπὶ μηρί' ἔκαιον,
when they the-entrails tasted to-the-god and on the-thighs burned

οἱ δ' ἰθὺς κατάγοντο ἰδ' ἱστία νηὸς ἐίσης
they and straight put-in and the-sails of-the-ship balanced
στεῖλαν ἀείραντες, τὴν δ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί·
furled hauling-up her and moored out and went themselves
ἐκ δ' ἄρα Τηλέμαχος νηὸς βαῖν', ἦρχε δ' Ἀθήνη.
out and then Telemachus of-the-ship went led and Athena
τὸν προτέρη προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
him first addressed the-goddess flashing-eyed Athena
"Τηλέμαχ', οὐ μέν σε χρὴ ἔτ' αἰδοῦς, οὐδ' ἠβαιόν·
Telemachus not indeed you it-befits longer of-shame not-even a-little
τούνεκα γὰρ καὶ πόντον ἐπέπλως, ὄφρα πύθηαι
for-this for even the-sea you-sailed so-that you-might-learn
πατρός, ὅπου κύθε γαῖα καὶ ὅν τινα πότμον ἐπέσπεν.
of-father where covered(-him) the-earth and what — fate he-met
ἀλλ' ἄγε νῦν ἰθὺς κίε Νέστορος ἱπποδάμοιο·
but come now straight go-to Nestor horse-taming
εἴδομεν ἥν τινα μῆτιν ἐνὶ στήθεσσι κέκευθε.
let-us-know what — counsel in breast he-hides
λίσσεσθαι δέ μιν αὐτός, ὅπως νημερτέα εἴπῃ·
beseech and him yourself so-that true-things he-may-tell
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστί."
a-lie and not he-will-speak very for prudent he-is
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Μέντορ, πῶς τ' ἄρ' ἴω; πῶς τ' ἂρ προσπτύξομαι αὐτόν;
Mentor how — then shall-I-go how — then shall-I-greet him
οὐδέ τί πω μύθοισι πεπείρημαι πυκινοῖσιν·
nor at-all yet in-speeches am-I-practiced shrewd
αἰδὼς δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι."
shame and in-turn for-a-young man an-older to-question

Τὸν δ' αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
Telemachus some-things indeed yourself in mind your you-will-think
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται· οὐ γὰρ ὀίω
others and also a-god will-suggest not for I-think
οὔ σε θεῶν ἀέκητι γενέσθαι τε τραφέμεν τε."
not you of-the-gods against-the-will to-have-been-born both to-have-been-reared and
Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
So then having-spoken led-the-way Pallas Athena
καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
swiftly he and then after the-tracks went of-the-goddess
ἷξον δ' ἐς Πυλίων ἀνδρῶν ἄγυρίν τε καὶ ἕδρας,
they-reached and to of-the-Pylian men the-gathering both and seats
ἔνθ' ἄρα Νέστωρ ἧστο σὺν υἱάσιν, ἀμφὶ δ' ἑταῖροι
there then Nestor sat with sons around and comrades
δαῖτ' ἐντυνόμενοι κρέα τ' ὤπτων ἄλλα τ' ἔπειρον.
feast preparing meats both were-roasting others and were-spitting
οἱ δ' ὡς οὖν ξείνους ἴδον, ἀθρόοι ἦλθον ἅπαντες,
they and when then the-strangers they-saw in-a-throng came all
χερσίν τ' ἠσπάζοντο καὶ ἑδριάασθαι ἄνωγον.
with-hands both welcomed and to-sit bade
πρῶτος Νεστορίδης Πεισίστρατος ἐγγύθεν ἐλθὼν
first son-of-Nestor Peisistratus near coming
ἀμφοτέρων ἕλε χεῖρα καὶ ἵδρυσεν παρὰ δαιτὶ
of-both took the-hand and seated(-them) at the-feast
κώεσιν ἐν μαλακοῖσιν ἐπὶ ψαμάθοις ἁλίῃσιν
fleeces on soft on sands of-the-sea
πάρ τε κασιγνήτῳ Θρασυμήδεϊ καὶ πατέρι ᾧ·
beside both brother Thrasymedes and father his-own

δῶκε δ᾽ ἄρα σπλάγχνων μοίρας, ἐν δ᾽ οἶνον ἔχευεν
gave and then of-the-entrails portions in and wine poured
χρυσείῳ δέπαϊ· δειδισκόμενος δὲ προσηύδα
in-golden cup pledging and he-addressed
Παλλάδ᾽ Ἀθηναίην κούρην Διὸς αἰγιόχοιο·
Pallas Athena daughter of-Zeus aegis-bearing
"Εὔχεο νῦν, ὦ ξεῖνε, Ποσειδάωνι ἄνακτι·
Pray now O stranger to-Poseidon lord
τοῦ γὰρ καὶ δαίτης ἠντήσατε δεῦρο μολόντες.
his for also feast you-have-met hither coming
αὐτὰρ ἐπὴν σπείσῃς τε καὶ εὔξεαι, ἢ θέμις ἐστί,
but when you-have-poured-libation both and prayed as right is
δὸς καὶ τούτῳ ἔπειτα δέπας μελιηδέος οἴνου
give also to-this-one then the-cup of-honey-sweet wine
σπεῖσαι, ἐπεὶ καὶ τοῦτον ὀίομαι ἀθανάτοισιν
to-pour since also this-one I-think to-the-immortals
εὔχεσθαι· πάντες δὲ θεῶν χατέουσ᾽ ἄνθρωποι.
to-pray all and of-gods have-need men
ἀλλὰ νεώτερός ἐστιν, ὁμηλικίη δ᾽ ἐμοὶ αὐτῷ·
but younger he-is of-the-same-age and to-me myself
τούνεκα σοὶ προτέρῳ δώσω χρύσειον ἄλεισον."
therefore to-you first I-will-give the-golden goblet
Ὣς εἰπὼν ἐν χειρὶ τίθει δέπας ἡδέος οἴνου·
So having-spoken in hand he-put the-cup of-sweet wine
χαῖρε δ᾽ Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ,
rejoiced and Athena in-the-prudent man just
οὕνεκα οἱ προτέρῃ δῶκε χρύσειον ἄλεισον·
because to-her first he-gave the-golden goblet
αὐτίκα δ᾽ εὔχετο πολλὰ Ποσειδάωνι ἄνακτι·
at-once and she-prayed much to-Poseidon lord

"Κλῦθι, Ποσείδαον γαιήοχε, μηδὲ μεγήρῃς
Hear Poseidon earth-holder nor begrudge
ἡμῖν εὐχομένοισι τελευτῆσαι τάδε ἔργα.
to-us praying to-accomplish these works
Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε,
to-Nestor indeed first-of-all and to-his-sons glory grant
αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβὴν
but then to-others give gracious recompense
σύμπασιν Πυλίοισιν ἀγακλειτῆς ἑκατόμβης.
to-all Pylians for-the-glorious hecatomb
δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι,
grant and still Telemachus and me having-accomplished to-return
οὕνεκα δεῦρ' ἱκόμεσθα θοῇ σὺν νηὶ μελαίνῃ."
for-the-sake-of-which hither we-came swift with ship black
Ὣς ἄρ' ἔπειτ' ἠρᾶτο καὶ αὐτὴ πάντα τελεύτα.
So then then she-prayed and herself all-things accomplished
δῶκε δὲ Τηλεμάχῳ καλὸν δέπας ἀμφικύπελλον·
gave and to-Telemachus fair cup double-handled
ὣς δ' αὔτως ἠρᾶτο Ὀδυσσῆος φίλος υἱός.
so and likewise prayed of-Odysseus dear son
οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
they and when they-had-roasted the-meats outer and drew-off(-the-spits)
μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα.
portions having-divided feasted glorious feast
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
τοῖς ἄρα μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
to-them then of-speeches began Gerenian horseman Nestor

"Νῦν δὴ κάλλιόν ἐστι μεταλλῆσαι καὶ ἐρέσθαι
Now indeed better it-is to-inquire and to-ask
ξείνους, οἵ τινές εἰσιν, ἐπεὶ τάρπησαν ἐδωδῆς.
the-strangers who — they-are since they-are-satisfied with-food
ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
O strangers who are-you whence do-you-sail wet ways
ἦ τι κατὰ πρῆξιν ἢ μαψιδίως ἀλάλησθε
whether at-all on business or recklessly do-you-wander
οἷά τε ληιστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται
like — pirates over the-sea who — wander
ψυχὰς παρθέμενοι κακὸν ἀλλοδαποῖσι φέροντες;"
lives staking evil to-foreigners bringing
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα
Him and in-turn Telemachus prudent in-reply spoke
θαρσήσας· αὐτὴ γὰρ ἐνὶ φρεσὶ θάρσος Ἀθήνη
having-taken-courage herself for in mind courage Athena
θῆχ', ἵνα μιν περὶ πατρὸς ἀποιχομένοιο ἔροιτο
put so-that him about father departed he-might-ask
ἠδ' ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν·
and so-that him fame good among men may-hold
" Ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
O Nestor son-of-Neleus great glory of-the-Achaeans
εἴρεαι ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω.
you-ask whence we-are I and — to-you will-recount
ἡμεῖς ἐξ Ἰθάκης ὑπονηίου εἰλήλουθμεν·
we from Ithaca under-Neion have-come
πρῆξις δ' ἥδ' ἰδίη, οὐ δήμιος, ἣν ἀγορεύω.
business and this private not public which I-speak-of
πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, ἤν που ἀκούσω,
of-father my fame wide I-pursue if somewhere I-may-hear

δίου Ὀδυσσῆος ταλασίφρονος, ὅν ποτέ φασι
of-noble Odysseus steadfast who once they-say
σὺν σοὶ μαρνάμενον Τρώων πόλιν ἐξαλαπάξαι.
with you fighting of-the-Trojans the-city to-have-sacked
ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον,
others indeed for all as-many-as with-Trojans warred
πευθόμεθ', ἧχι ἕκαστος ἀπώλετο λυγρῷ ὀλέθρῳ,
we-learn where each perished in-woeful destruction
κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων.
of-him but in-turn even the-destruction unlearned made the-son-of-Cronus
οὐ γάρ τις δύναται σάφα εἰπέμεν ὁππόθ' ὄλωλεν,
not for anyone is-able clearly to-say where he-has-perished
εἴθ' ὅ γ' ἐπ' ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
whether he indeed on the-mainland was-subdued by-men hostile
εἴτε καὶ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης.
or also in the-open-sea amid the-waves of-Amphitrite
τούνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
therefore now those your knees I-come-to if — you-are-willing
κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
his woeful destruction to-tell if somewhere you-have-seen(-it)
ὀφθαλμοῖσι τεοῖσιν ἢ ἄλλου μῦθον ἄκουσας
with-eyes your or of-another the-word heard
πλαζομένου· πέρι γάρ μιν ὀιζυρὸν τέκε μήτηρ.
wandering beyond(-all) for him wretched bore the-mother
μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
nor at-all me respecting(-me) soften nor pitying
ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς.
but well to-me recount how you-came-upon the-sight
λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμός, ἐσθλὸς Ὀδυσσεύς,
I-beseech if ever to-you at-all father my noble Odysseus

ἢ ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσε
either word or any deed having-promised fulfilled
δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
the-land in of-the-Trojans where you-suffered sorrows Achaeans
τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπες."
these-things now for-me remember and to-me truly tell

III.2 · NESTOR'S TALE OF THE RETURNS

Nestor recalls the sufferings at Troy and the dead, Ajax, Achilles, Patroclus, and his own son Antilochus. After the city fell, Athena set the sons of Atreus quarreling, and the army split. Nestor sailed home with Diomedes; Odysseus turned back to Agamemnon, and Nestor knows nothing more of him. He has heard of the others' returns and urges Telemachus to be brave, like Orestes.

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
"Ὦ φίλ', ἐπεί μ' ἔμνησας ὀιζύος, ἣν ἐν ἐκείνῳ
O friend since me you-have-reminded of-the-misery which in that
δήμῳ ἀνέτλημεν μένος ἄσχετοι υἷες Ἀχαιῶν,
land we-endured in-spirit unchecked the-sons of-the-Achaeans
ἠμὲν ὅσα ξὺν νηυσὶν ἐπ' ἠεροειδέα πόντον
both as-much-as with ships over misty sea
πλαζόμενοι κατὰ ληίδ', ὅππῃ ἄρξειεν Ἀχιλλεύς,
wandering after booty wherever led Achilles
ἠδ' ὅσα καὶ περὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
and as-much-as also around the-city great of-Priam lord
μαρνάμεθ'· ἔνθα δ' ἔπειτα κατέκταθεν ὅσσοι ἄριστοι.
we-fought there and then were-killed as-many-as best
ἔνθα μὲν Αἴας κεῖται ἀρήιος, ἔνθα δ' Ἀχιλλεύς,
there indeed Ajax lies warlike there and Achilles

ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
there and Patroclus to-the-gods counselor equal
ἔνθα δ' ἐμὸς φίλος υἱός, ἅμα κρατερὸς καὶ ἀμύμων,
there and my dear son both strong and blameless
Ἀντίλοχος, πέρι μὲν θείειν ταχὺς ἠδὲ μαχητής·
Antilochus beyond indeed to-run swift and a-warrior
ἄλλα τε πόλλ' ἐπὶ τοῖς πάθομεν κακά· τίς κεν ἐκεῖνα
others and many besides these we-suffered evils who — those
πάντα γε μυθήσαιτο καταθνητῶν ἀνθρώπων;
all indeed could-tell of-mortal men
οὐδ' εἰ πεντάετές γε καὶ ἑξάετες παραμίμνων
not-even if for-five-years indeed and six-years staying
ἐξερέοις ὅσα κεῖθι πάθον κακὰ δῖοι Ἀχαιοί·
you-were-to-ask as-many-as there suffered evils noble Achaeans
πρίν κεν ἀνιηθεὶς σὴν πατρίδα γαῖαν ἵκοιο.
before — wearied your native land you-would-reach
εἰνάετες γάρ σφιν κακὰ ῥάπτομεν ἀμφιέποντες
for-nine-years for for-them evils we-stitched busying-ourselves
παντοίοισι δόλοισι, μόγις δ' ἐτέλεσσε Κρονίων.
with-all-kinds-of tricks hardly and accomplished(-it) the-son-of-Cronus
ἔνθ' οὔ τίς ποτε μῆτιν ὁμοιωθήμεναι ἄντην
there not any ever in-wit to-be-likened face-to-face
ἤθελ', ἐπεὶ μάλα πολλὸν ἐνίκα δῖος Ὀδυσσεὺς
wished since very much surpassed noble Odysseus
παντοίοισι δόλοισι, πατὴρ τεός, εἰ ἐτεόν γε
with-all-kinds-of tricks father your if truly indeed
κείνου ἔκγονός ἐσσι· σέβας μ' ἔχει εἰσορόωντα.
of-him offspring you-are awe me holds looking-at(-you)

ἦ τοι γὰρ μῦθοί γε ἐοικότες, οὐδέ κε φαίης
truly indeed for speeches indeed like nor — would-you-say
ἄνδρα νεώτερον ὧδε ἐοικότα μυθήσασθαι.
a-man younger thus fitting to-speak
ἔνθ' ἦ τοι ἦος μὲν ἐγὼ καὶ δῖος Ὀδυσσεὺς
then truly indeed while indeed I and noble Odysseus
οὔτε ποτ' εἰν ἀγορῇ δίχ' ἐβάζομεν οὔτ' ἐνὶ βουλῇ,
neither ever in assembly apart spoke nor in council
ἀλλ' ἕνα θυμὸν ἔχοντε νόῳ καὶ ἐπίφρονι βουλῇ
but one heart having-both with-mind and shrewd counsel
φραζόμεθ' Ἀργείοισιν ὅπως ὄχ' ἄριστα γένοιτο.
we-considered for-the-Argives how by-far best it-might-be
αὐτὰρ ἐπεὶ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
but when of-Priam the-city we-had-sacked steep
βῆμεν δ' ἐν νήεσσι, θεὸς δ' ἐκέδασσεν Ἀχαιούς,
we-went and in ships the-god and scattered the-Achaeans
καὶ τότε δὴ Ζεὺς λυγρὸν ἐνὶ φρεσὶ μήδετο νόστον
and then indeed Zeus woeful in mind devised return
Ἀργείοις, ἐπεὶ οὔ τι νοήμονες οὐδὲ δίκαιοι
for-the-Argives since not at-all wise nor just
πάντες ἔσαν· τῶ σφεων πολέες κακὸν οἶτον ἐπέσπον
all were therefore of-them many evil doom met
μήνιος ἐξ ὀλοῆς γλαυκώπιδος ὀβριμοπάτρης.
the-wrath from deadly of-flashing-eyed daughter-of-a-mighty-father
ἥ τ' ἔριν Ἀτρεΐδῃσι μετ' ἀμφοτέροισιν ἔθηκε.
who — strife the-sons-of-Atreus between both put
τὼ δὲ καλεσσαμένω ἀγορὴν ἐς πάντας Ἀχαιούς,
they-two and having-called assembly to all Achaeans
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐς ἠέλιον καταδύντα,
recklessly but not in order at the-sun setting

οἱ δ' ἦλθον οἴνῳ βεβαρηότες υἷες Ἀχαιῶν,
they and came with-wine heavy the-sons of-the-Achaeans
μῦθον μυθείσθην, τοῦ εἵνεκα λαὸν ἄγειραν.
the-speech they-two-spoke of-which for-the-sake the-host they-had-gathered
ἔνθ' ἤ τοι Μενέλαος ἀνώγει πάντας Ἀχαιοὺς
then truly indeed Menelaus bade all Achaeans
νόστου μιμνήσκεσθαι ἐπ' εὐρέα νῶτα θαλάσσης,
of-return to-be-mindful over broad back of-the-sea
οὐδ' Ἀγαμέμνονι πάμπαν ἐήνδανε· βούλετο γάρ ῥα
nor to-Agamemnon at-all pleased he-wished for then
λαὸν ἐρυκακέειν ῥέξαι θ' ἱερὰς ἑκατόμβας,
the-host to-hold-back to-offer and sacred hecatombs
ὡς τὸν Ἀθηναίης δεινὸν χόλον ἐξακέσαιτο,
so-that the of-Athena dread anger he-might-appease
νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
fool nor this he-knew that not to-be-persuaded she-was-about
οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.
not for — quickly of-the-gods is-turned the-mind always being
ὣς τὼ μὲν χαλεποῖσιν ἀμειβομένω ἐπέεσσιν
so they-two indeed with-harsh exchanging words
ἔστασαν· οἱ δ' ἀνόρουσαν ἐυκνήμιδες Ἀχαιοὶ
stood they and leapt-up well-greaved Achaeans
ἠχῇ θεσπεσίῃ, δίχα δέ σφισιν ἤνδανε βουλή.
with-din wondrous in-two and to-them was-pleasing the-counsel
νύκτα μὲν ἀέσαμεν χαλεπὰ φρεσὶν ὁρμαίνοντες
the-night indeed we-slept harsh-things in-minds pondering
ἀλλήλοις· ἐπὶ γὰρ Ζεὺς ἤρτυε πῆμα κακοῖο·
against-each-other on for Zeus was-preparing woe of-evil

ἠῶθεν δ᾽ οἱ μὲν νέας ἕλκομεν εἰς ἅλα δῖαν
at-dawn and some(-of-us) indeed the-ships drew into the-sea bright
κτήματά τ᾽ ἐντιθέμεσθα βαθυζώνους τε γυναῖκας.
possessions both put-in deep-girdled and women
ἡμίσεες δ᾽ ἄρα λαοὶ ἐρητύοντο μένοντες
half and then of-the-host held-back waiting
αὖθι παρ᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν·
there by son-of-Atreus Agamemnon shepherd of-the-people
ἡμίσεες δ᾽ ἀναβάντες ἐλαύνομεν· αἱ δὲ μάλ᾽ ὦκα
half and having-embarked rowed they and very quickly
ἔπλεον, ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον.
sailed smoothed and a-god the-monster-filled sea
ἐς Τένεδον δ᾽ ἐλθόντες ἐρέξαμεν ἱρὰ θεοῖσιν,
to Tenedos and coming we-offered sacrifices to-the-gods
οἴκαδε ἱέμενοι· Ζεὺς δ᾽ οὔ πω μήδετο νόστον,
homeward eager Zeus but not yet devised return
σχέτλιος, ὅς ῥ᾽ ἔριν ὦρσε κακὴν ἔπι δεύτερον αὖτις.
cruel who then strife roused evil upon a-second again
οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας ἀμφιελίσσας
they indeed having-turned-back went the-ships curved
ἀμφ᾽ Ὀδυσῆα ἄνακτα δαΐφρονα, ποικιλομήτην,
around Odysseus lord wise-hearted of-subtle-counsel
αὖτις ἐπ᾽ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἦρα φέροντες·
again to the-son-of-Atreus Agamemnon favor bringing
αὐτὰρ ἐγὼ σὺν νηυσὶν ἀολλέσιν, αἵ μοι ἕποντο,
but I with ships in-a-body which me followed
φεῦγον, ἐπεὶ γίγνωσκον, ὃ δὴ κακὰ μήδετο δαίμων.
fled since I-knew that indeed evils devised the-god
φεῦγε δὲ Τυδέος υἱὸς ἀρήιος, ὦρσε δ᾽ ἑταίρους.
fled and of-Tydeus the-son warlike roused and the-comrades

ὀψὲ δὲ δὴ μετὰ νῶι κίε ξανθὸς Μενέλαος,
late and indeed after us-two came fair-haired Menelaus
ἐν Λέσβῳ δ' ἔκιχεν δολιχὸν πλόον ὁρμαίνοντας,
in Lesbos and he-overtook(-us) long voyage pondering
ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης,
whether above Chios we-should-sail rugged
νήσου ἔπι Ψυρίης, αὐτὴν ἐπ' ἀριστέρ' ἔχοντες,
island by Psyria it on left keeping
ἦ ὑπένερθε Χίοιο, παρ' ἠνεμόεντα Μίμαντα.
or below Chios past windy Mimas
ἠτέομεν δὲ θεὸν φῆναι τέρας· αὐτὰρ ὅ γ' ἡμῖν
we-asked and the-god to-show a-sign but he indeed to-us
δεῖξε, καὶ ἠνώγει πέλαγος μέσον εἰς Εὔβοιαν
showed and bade the-open-sea middle to Euboea
τέμνειν, ὄφρα τάχιστα ὑπὲκ κακότητα φύγοιμεν.
to-cut so-that most-quickly out-of the-evil we-might-flee
ὦρτο δ' ἐπὶ λιγὺς οὖρος ἀήμεναι· αἱ δὲ μάλ' ὦκα
rose and on a-shrill fair-wind to-blow they and very quickly
ἰχθυόεντα κέλευθα διέδραμον, ἐς δὲ Γεραιστὸν
fish-filled ways ran-through to and Geraestus
ἐννύχιαι κατάγοντο· Ποσειδάωνι δὲ ταύρων
by-night put-in to-Poseidon and of-bulls
πόλλ' ἐπὶ μῆρ' ἔθεμεν, πέλαγος μέγα μετρήσαντες.
many on thighs we-laid sea great having-measured

τέτρατον ἦμαρ ἔην, ὅτ᾽ ἐν Ἄργεϊ νῆας ἐίσας
the-fourth day it-was when in Argos the-ships balanced
Τυδεΐδεω ἕταροι Διομήδεος ἱπποδάμοιο
of-Tydeus'-son the-comrades of-Diomedes horse-taming
ἵστασαν· αὐτὰρ ἐγώ γε Πύλονδ᾽ ἔχον, οὐδέ ποτ᾽ ἔσβη
set but I indeed to-Pylos held nor ever was-quenched
οὖρος, ἐπεὶ δὴ πρῶτα θεὸς προέηκεν ἀῆναι.
the-fair-wind since indeed first the-god sent-forth to-blow
" Ὣς ἦλθον, φίλε τέκνον, ἀπευθής, οὐδέ τι οἶδα
So I-came dear child without-tidings nor at-all do-I-know
κείνων, οἵ τ᾽ ἐσάωθεν Ἀχαιῶν οἵ τ᾽ ἀπόλοντο.
of-them who — were-saved of-the-Achaeans who — perished
ὅσσα δ᾽ ἐνὶ μεγάροισι καθήμενος ἡμετέροισι
as-much-as but in halls sitting our
πεύθομαι, ἣ θέμις ἐστί, δαήσεαι, οὐδέ σε κεύσω.
I-learn as right is you-shall-learn nor you will-I-hide
εὖ μὲν Μυρμιδόνας φάσ᾽ ἐλθέμεν ἐγχεσιμώρους,
well indeed the-Myrmidons they-say to-have-come spear-famed
οὓς ἄγ᾽ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱός,
whom led of-Achilles great-hearted the-glorious son
εὖ δὲ Φιλοκτήτην, Ποιάντιον ἀγλαὸν υἱόν.
well and Philoctetes son-of-Poias glorious son
πάντας δ᾽ Ἰδομενεὺς Κρήτην εἰσήγαγ᾽ ἑταίρους,
all and Idomeneus to-Crete brought comrades
οἳ φύγον ἐκ πολέμου, πόντος δέ οἱ οὔ τιν᾽ ἀπηύρα.
who escaped from the-war the-sea and from-him not any took-away
Ἀτρεΐδην δὲ καὶ αὐτοὶ ἀκούετε, νόσφιν ἐόντες,
the-son-of-Atreus and also yourselves you-hear apart being
ὥς τ᾽ ἦλθ᾽, ὥς τ᾽ Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.
how — he-came how — Aegisthus devised woeful destruction

ἀλλ᾽ ἦ τοι κεῖνος μὲν ἐπισμυγερῶς ἀπέτισεν·
but truly indeed he indeed wretchedly paid
ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι
how good also a-son of-one-who-has-perished to-be-left
ἀνδρός, ἐπεὶ καὶ κεῖνος ἐτίσατο πατροφονῆα,
man since also he took-vengeance-on the-father-slayer
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
Aegisthus wily who his father famous killed
καὶ σὺ φίλος, μάλα γάρ σ᾽ ὁρόω καλόν τε μέγαν τε,
also you friend very for you I-see fair both tall and
ἄλκιμος ἔσσ᾽, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.᾽᾽
valiant be so-that anyone you even of-those-born-after well may-speak

III.3 · NESTOR ON ATHENA'S CARE

Telemachus wishes he had the strength to punish the suitors. Nestor says that if Athena cared for him as she cared for Odysseus at Troy, the suitors would forget their wooing. Telemachus doubts that this could happen even if the gods willed it. Athena, as Mentor, rebukes him: a god can easily save a man, but not even the gods can avert death. Telemachus then asks how Agamemnon died.

Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
“ Ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
O Nestor son-of-Neleus great glory of-the-Achaeans
καὶ λίην κεῖνος μὲν ἐτίσατο, καί οἱ Ἀχαιοὶ
yes surely he indeed took-vengeance and for-him the-Achaeans
οἴσουσι κλέος εὐρὺ καὶ ἐσσομένοισι πυθέσθαι·
will-carry fame wide even to-those-to-come to-learn
αἴ γὰρ ἐμοὶ τοσσήνδε θεοὶ δύναμιν περιθεῖεν,
if-only for to-me such the-gods power would-put-around

τίσασθαι μνηστῆρας ὑπερβασίης ἀλεγεινῆς,
to-take-vengeance-on the-suitors for-transgression grievous
οἵ τέ μοι ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
who — against-me outraging reckless-things devise
ἀλλ᾽ οὔ μοι τοιοῦτον ἐπέκλωσαν θεοὶ ὄλβον,
but not for-me such spun the-gods happiness
πατρί τ᾽ ἐμῷ καὶ ἐμοί· νῦν δὲ χρὴ τετλάμεν ἔμπης.”
for-father both my and for-me now but one-must endure nevertheless
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
“Ὦ φίλ᾽, ἐπεὶ δὴ ταῦτά μ᾽ ἀνέμνησας καὶ ἔειπες,
O friend since indeed these-things me you-have-reminded-of and spoken
φασὶ μνηστῆρας σῆς μητέρος εἵνεκα πολλοὺς
they-say suitors your of-mother for-the-sake many
ἐν μεγάροις ἀέκητι σέθεν κακὰ μηχανάασθαι·
in the-halls against-the-will of-you evils devise
εἰπέ μοι, ἠὲ ἑκὼν ὑποδάμνασαι, ἦ σέ γε λαοὶ
tell me whether willingly you-submit or you indeed the-people
ἐχθαίρουσ᾽ ἀνὰ δῆμον, ἐπισπόμενοι θεοῦ ὀμφῇ.
hate throughout the-land following of-a-god the-voice
τίς δ᾽ οἶδ᾽ εἴ κέ ποτέ σφι βίας ἀποτίσεται ἐλθών,
who and knows if — ever on-them the-violence he-will-avenge coming
ἢ ὅ γε μοῦνος ἐὼν ἢ καὶ σύμπαντες Ἀχαιοί;
either he indeed alone being or also all-together the-Achaeans
εἰ γάρ σ᾽ ὣς ἐθέλοι φιλέειν γλαυκῶπις Ἀθήνη,
if for you so should-wish to-love flashing-eyed Athena

ὡς τότ᾽ Ὀδυσσῆος περικήδετο κυδαλίμοιο
as then of-Odysseus she-cared-for glorious
δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε᾽ Ἀχαιοί —
the-land in of-the-Trojans where we-suffered pains Achaeans
οὐ γάρ πω ἴδον ὧδε θεοὺς ἀναφανδὰ φιλεῦντας,
not for yet I-saw so gods openly loving
ὡς κείνῳ ἀναφανδὰ παρίστατο Παλλὰς Ἀθήνη —
as to-him openly stood-by Pallas Athena
εἴ σ᾽ οὕτως ἐθέλοι φιλέειν κήδοιτό τε θυμῷ,
if you thus she-should-wish to-love should-care-for and in-heart
τῶ κέν τις κείνων γε καὶ ἐκλελάθοιτο γάμοιο.᾽᾽
then — some-one of-them indeed even would-forget marriage
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
“ Ὦ γέρον, οὔ πω τοῦτο ἔπος τελέεσθαι ὀίω·
O old-man not yet this word to-be-fulfilled I-think
λίην γὰρ μέγα εἶπες· ἄγη μ᾽ ἔχει. οὐκ ἂν ἐμοί γε
too for great you-have-said amazement me holds not — for-me indeed
ἐλπομένῳ τὰ γένοιτ᾽, οὐδ᾽ εἰ θεοὶ ὣς ἐθέλοιεν.᾽᾽
hoping these-things would-happen not-even if the-gods so should-wish
Τὸν δ᾽ αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
“Τηλέμαχε, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
Telemachus what you word escaped the-fence of-teeth
ῥεῖα θεός γ᾽ ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.
easily a-god indeed wishing even from-afar a-man could-save
βουλοίμην δ᾽ ἂν ἐγώ γε καὶ ἄλγεα πολλὰ μογήσας
I-would-wish and — I indeed even pains many having-suffered
οἴκαδέ τ᾽ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι,
home both to-come and of-return the-day to-see

ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος, ὡς Ἀγαμέμνων
than coming to-perish at-the-hearth as Agamemnon
ὤλεθ' ὑπ' Αἰγίσθοιο δόλῳ καὶ ἧς ἀλόχοιο.
perished by of-Aegisthus guile and of-his-own wife
ἀλλ' ἦ τοι θάνατον μὲν ὁμοίιον οὐδὲ θεοί περ
but truly indeed death indeed common not-even the-gods indeed
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε κεν δὴ
even for-a-dear man are-able to-ward-off when — indeed
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο."
fate deadly takes-down of-grievous death
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Her and in-turn Telemachus prudent in-reply spoke
"Μέντορ, μηκέτι ταῦτα λεγώμεθα κηδόμενοί περ·
Mentor no-longer these-things let-us-speak-of grieving though
κείνῳ δ' οὐκέτι νόστος ἐτήτυμος, ἀλλά οἱ ἤδη
for-him and no-longer return true but for-him already
φράσσαντ' ἀθάνατοι θάνατον καὶ κῆρα μέλαιναν.
devised the-immortals death and doom black
νῦν δ' ἐθέλω ἔπος ἄλλο μεταλλῆσαι καὶ ἐρέσθαι
now and I-wish word another to-inquire and to-ask
Νέστορ', ἐπεὶ περὶ οἶδε δίκας ἠδὲ φρόνιν ἄλλων·
Nestor since beyond he-knows judgments and wisdom (than)-others
τρὶς γὰρ δή μίν φασιν ἀνάξασθαι γένε' ἀνδρῶν·
thrice for indeed him they-say to-have-ruled generations of-men
ὥς τέ μοι ἀθάνατος ἰνδάλλεται εἰσοράασθαι.
so-that — to-me an-immortal he-appears to-look-on
ὦ Νέστορ Νηληιάδη, σὺ δ' ἀληθὲς ἐνίσπες·
O Nestor son-of-Neleus you and the-truth tell
πῶς ἔθαν' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων;
how died the-son-of-Atreus wide ruling Agamemnon

ποῦ Μενέλαος ἔην; τίνα δ' αὐτῷ μήσατ' ὄλεθρον
where Menelaus was what and for-him devised destruction
Αἴγισθος δολόμητις, ἐπεὶ κτάνε πολλὸν ἀρείω;
Aegisthus wily since he-killed far better(-man)
ἦ οὐκ Ἄργεος ἦεν Ἀχαικοῦ, ἀλλά πῃ ἄλλῃ
or not in-Argos he-was Achaean but somewhere elsewhere
πλάζετ' ἐπ' ἀνθρώπους, ὁ δὲ θαρσήσας κατέπεφνε;"
wandered among men he and taking-courage slew(-him)

III.4 · THE DEATH OF AGAMEMNON

Nestor tells how Aegisthus, in Argos, seduced Clytemnestra after getting rid of the minstrel set to guard her. Menelaus lost his helmsman at Sunium, was caught by a storm off Malea, and was driven with five ships to Egypt. Meanwhile Aegisthus killed Agamemnon and ruled for seven years, until Orestes killed him; on the day of the funeral feast Menelaus came home. Nestor tells Telemachus not to stay long from home and to visit Menelaus.

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Him and answered then Gerenian horseman Nestor
"Τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθέα πάντ' ἀγορεύσω.
Therefore I to-you child true-things all will-tell
ἦ τοι μὲν τάδε καὐτὸς ὀίεαι, ὥς κεν ἐτύχθη,
truly indeed indeed this even-yourself you-guess as — it-would-have-happened
εἰ ζωόν γ' Αἴγισθον ἐνὶ μεγάροισιν ἔτετμεν
if alive indeed Aegisthus in the-halls had-found
Ἀτρεΐδης Τροίηθεν ἰών, ξανθὸς Μενέλαος·
the-son-of-Atreus from-Troy coming fair-haired Menelaus
τῷ κέ οἱ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
then — for-him not-even dead heaped over earth they-would-have-poured

ἀλλ᾽ ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν
but then him indeed dogs both and birds would-have-devoured
κείμενον ἐν πεδίῳ ἑκὰς ἄστεος, οὐδέ κέ τίς μιν
lying on the-plain far from-the-city nor — any him
κλαῦσεν Ἀχαιάδων· μάλα γὰρ μέγα μήσατο ἔργον.
would-have-wailed of-Achaean-women very for great he-devised a-deed
ἡμεῖς μὲν γὰρ κεῖθι πολέας τελέοντες ἀέθλους
we indeed for there many accomplishing toils
ἥμεθ᾽· ὁ δ᾽ εὔκηλος μυχῷ Ἄργεος ἱπποβότοιο
sat he and at-ease in-the-recess of-Argos horse-pasturing
πόλλ᾽ Ἀγαμεμνονέην ἄλοχον θέλγεσκ᾽ ἐπέεσσιν.
much Agamemnon's wife kept-beguiling with-words
ἡ δ᾽ ἦ τοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς
she and truly indeed at-the first indeed refused the-deed unseemly
δῖα Κλυταιμνήστρη· φρεσὶ γὰρ κέχρητ᾽ ἀγαθῇσι·
noble Clytemnestra wits for she-had good
πὰρ δ᾽ ἄρ᾽ ἔην καὶ ἀοιδὸς ἀνήρ, ᾧ πόλλ᾽ ἐπέτελλεν
beside and then was also a-minstrel man to-whom much enjoined
Ἀτρεΐδης Τροίηνδε κιὼν εἴρυσθαι ἄκοιτιν.
the-son-of-Atreus to-Troy going to-guard (his)-wife
ἀλλ᾽ ὅτε δή μιν μοῖρα θεῶν ἐπέδησε δαμῆναι,
but when indeed her the-fate of-the-gods bound to-be-subdued
δὴ τότε τὸν μὲν ἀοιδὸν ἄγων ἐς νῆσον ἐρήμην
indeed then the indeed minstrel bringing to an-island desert
κάλλιπεν οἰωνοῖσιν ἕλωρ καὶ κύρμα γενέσθαι,
he-left for-birds a-prey and spoil to-become
τὴν δ᾽ ἐθέλων ἐθέλουσαν ἀνήγαγεν ὅνδε δόμονδε.
her and willing willing he-led to-his-own house
πολλὰ δὲ μηρί᾽ ἔκηε θεῶν ἱεροῖς ἐπὶ βωμοῖς,
many and thighs he-burned of-the-gods sacred upon altars

πολλὰ δ' ἀγάλματ' ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε,
many and offerings he-hung-up woven-stuffs both gold and
ἐκτελέσας μέγα ἔργον, ὃ οὔ ποτε ἔλπετο θυμῷ.
having-accomplished great deed which not ever he-hoped in-heart
" Ἡμεῖς μὲν γὰρ ἅμα πλέομεν Τροίηθεν ἰόντες,
We indeed for together sailed from-Troy coming
Ἀτρεΐδης καὶ ἐγώ, φίλα εἰδότες ἀλλήλοισιν·
the-son-of-Atreus and I friendly knowing toward-each-other
ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ', ἄκρον Ἀθηνέων,
but when Sunium sacred we-reached the-cape of-Athens
ἔνθα κυβερνήτην Μενελάου Φοῖβος Ἀπόλλων
there the-helmsman of-Menelaus Phoebus Apollo
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνε,
with-his gentle arrows assailing slew
πηδάλιον μετὰ χερσὶ θεούσης νηὸς ἔχοντα,
the-steering-oar in hands of-the-running ship holding
Φρόντιν Ὀνητορίδην, ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων
Phrontis son-of-Onetor who excelled the-tribes of-men
νῆα κυβερνῆσαι, ὁπότε σπέρχοιεν ἄελλαι.
a-ship to-steer when should-rush storms
ὣς ὁ μὲν ἔνθα κατέσχετ', ἐπειγόμενός περ ὁδοῖο,
so he indeed there was-held-back hastening though for-the-journey
ὄφρ' ἕταρον θάπτοι καὶ ἐπὶ κτέρεα κτερίσειεν.
so-that his-comrade he-might-bury and over funeral-gifts might-pay

ἀλλ᾽ ὅτε δὴ καὶ κεῖνος ἰὼν ἐπὶ οἶνοπα πόντον
but when indeed also he going over wine-dark sea
ἐν νηυσὶ γλαφυρῇσι Μαλειάων ὄρος αἰπὺ
in ships hollow of-Malea the-mountain steep
ἶξε θέων, τότε δὴ στυγερὴν ὁδὸν εὐρύοπα Ζεὺς
reached running then indeed hateful journey far-seeing Zeus
ἐφράσατο, λιγέων δ᾽ ἀνέμων ἐπ᾽ ἀυτμένα χεῦε,
devised of-shrill and winds over blasts poured
κύματά τε τροφέοντο πελώρια, ἶσα ὄρεσσιν.
waves both swelled huge equal to-mountains
ἔνθα διατμήξας τὰς μὲν Κρήτῃ ἐπέλασσεν,
there dividing(-them) some indeed to-Crete he-drove
ἧχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
where the-Cydonians dwelt of-Iardanus about the-streams
ἔστι δέ τις λισσὴ αἰπεῖά τε εἰς ἅλα πέτρη
is and a-certain smooth sheer both into the-sea rock
ἐσχατιῇ Γόρτυνος ἐν ἠεροειδέι πόντῳ·
at-the-border of-Gortyn in the-misty sea
ἔνθα Νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ,
there the-south-wind great wave against the-left headland pushes
ἐς Φαιστόν, μικρὸς δὲ λίθος μέγα κῦμ᾽ ἀποέργει.
to Phaestus small and stone great wave holds-back
αἱ μὲν ἄρ᾽ ἔνθ᾽ ἦλθον, σπουδῇ δ᾽ ἤλυξαν ὄλεθρον
these indeed then there came with-effort and escaped destruction
ἄνδρες, ἀτὰρ νηῶν γε ποτὶ σπιλάδεσσιν ἔαξαν
the-men but the-ships indeed against the-reefs broke
κύματ᾽· ἀτὰρ τὰς πέντε νέας κυανοπρῳρείους
the-waves but those five ships dark-prowed
Αἰγύπτῳ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
to-Egypt drove bearing wind both and water

ὣς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων
so he indeed there much livelihood and gold gathering
ἠλᾶτο ξὺν νηυσὶ κατ᾽ ἀλλοθρόους ἀνθρώπους·
wandered with ships among strange-tongued men
τόφρα δὲ ταῦτ᾽ Αἴγισθος ἐμήσατο οἴκοθι λυγρά.
so-long and these-things Aegisthus devised at-home woeful
ἑπτάετες δ᾽ ἤνασσε πολυχρύσοιο Μυκήνης,
seven-years and he-ruled of-rich-in-gold Mycenae
κτείνας Ἀτρεΐδην, δέδμητο δὲ λαὸς ὑπ᾽ αὐτῷ.
having-killed the-son-of-Atreus was-subdued and the-people under him
τῷ δέ οἱ ὀγδοάτῳ κακὸν ἤλυθε δῖος Ὀρέστης
in-the and for-him eighth as-evil came noble Orestes
ἂψ ἀπ᾽ Ἀθηνάων, κατὰ δ᾽ ἔκτανε πατροφονῆα,
back from Athens down and he-killed the-father-slayer
Αἴγισθον δολόμητιν, ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
Aegisthus wily who his father famous killed
ἦ τοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν
truly indeed he him having-killed gave funeral-feast to-the-Argives
μητρός τε στυγερῆς καὶ ἀνάλκιδος Αἰγίσθοιο·
for-mother both hateful and for-cowardly Aegisthus
αὐτῆμαρ δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος
on-the-same-day and to-him came at-the-war-cry good Menelaus
πολλὰ κτήματ᾽ ἄγων, ὅσα οἱ νέες ἄχθος ἄειραν.
many possessions bringing as-many-as his ships burden carried

"Καὶ σύ, φίλος, μὴ δηθὰ δόμων ἄπο τῆλ' ἀλάλησο,
And you friend not long from-home away far wander
κτήματά τε προλιπὼν ἄνδρας τ' ἐν σοῖσι δόμοισιν
possessions both having-left men and in your house
οὕτω ὑπερφιάλους, μή τοι κατὰ πάντα φάγωσιν
so overbearing lest your down all they-may-devour
κτήματα δασσάμενοι, σὺ δὲ τηϋσίην ὁδὸν ἔλθῃς.
possessions having-divided you and vain journey go
ἀλλ' ἐς μὲν Μενέλαον ἐγὼ κέλομαι καὶ ἄνωγα
but to indeed Menelaus I urge and bid
ἐλθεῖν· κεῖνος γὰρ νέον ἄλλοθεν εἰλήλουθεν,
to-go he for newly from-elsewhere has-come
ἐκ τῶν ἀνθρώπων, ὅθεν οὐκ ἔλποιτό γε θυμῷ
from those men whence not one-would-hope indeed in-heart
ἐλθέμεν, ὅν τινα πρῶτον ἀποσφήλωσιν ἄελλαι
to-come whom any first drive-astray storms
ἐς πέλαγος μέγα τοῖον, ὅθεν τέ περ οὐδ' οἰωνοὶ
into open-sea great such whence — indeed not-even birds
αὐτόετες οἰχνεῦσιν, ἐπεὶ μέγα τε δεινόν τε.
in-the-same-year go since great both terrible and
ἀλλ' ἴθι νῦν σὺν νηί τε σῇ καὶ σοῖς ἑτάροισιν·
but go now with ship both your and your comrades
εἰ δ' ἐθέλεις πεζός, πάρα τοι δίφρος τε καὶ ἵπποι,
if but you-wish on-foot at-hand for-you chariot both and horses
πὰρ δέ τοι υἷες ἐμοί, οἵ τοι πομπῆες ἔσονται
at-hand and for-you sons my who for-you guides will-be
ἐς Λακεδαίμονα δῖαν, ὅθι ξανθὸς Μενέλαος.
to Lacedaemon bright where fair-haired Menelaus

λίσσεσθαι δέ μιν αὐτός, ἵνα νημερτὲς ἐνίσπῃ·
beseech and him yourself so-that true-things he-may-tell
ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν."
a-lie and not he-will-speak very for prudent he-is

III.5 · ATHENA DEPARTS

At sunset Athena advises libations to Poseidon and sleep. Nestor will not let his guests sleep on the ship, and Athena says that Telemachus should stay while she goes back to the crew and on to the Cauconians. She vanishes in the likeness of a sea eagle, and Nestor, amazed, recognizes Athena and vows her a heifer with gilded horns. Telemachus sleeps in Nestor's palace.

Ὣς ἔφατ', ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθε.
So he-spoke the-sun and then set and on darkness came
τοῖσι δὲ καὶ μετέειπε θεά, γλαυκῶπις Ἀθήνη·
to-them and also spoke-among the-goddess flashing-eyed Athena
" Ὦ γέρον, ἦ τοι ταῦτα κατὰ μοῖραν κατέλεξας·
O old-man truly indeed these-things according-to due you-have-recounted
ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, κεράασθε δὲ οἶνον,
but come cut indeed the-tongues mix and the-wine
ὄφρα Ποσειδάωνι καὶ ἄλλοις ἀθανάτοισιν
so-that to-Poseidon and to-other immortals
σπείσαντες κοίτοιο μεδώμεθα· τοῖο γὰρ ὥρη.
having-poured-libation of-bed we-may-be-mindful of-it for the-hour
ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον, οὐδὲ ἔοικεν
already for the-light has-gone under the-gloom nor it-is-fitting
δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι."
long of-the-gods at the-feast to-sit but to-return

Ἦ ῥα Διὸς θυγάτηρ, οἱ δ' ἔκλυον αὐδησάσης.
She-spoke then of-Zeus the-daughter they and heard her-speaking
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
to-them and heralds indeed water over hands poured
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο,
youths and mixing-bowls filled-to-the-brim with-drink
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι·
distributed and then to-all having-poured-first-drops into-cups
γλώσσας δ' ἐν πυρὶ βάλλον, ἀνιστάμενοι δ' ἐπέλειβον.
the-tongues and into fire they-cast rising and they-poured-libation
αὐτὰρ ἐπεὶ σπείσάν τ' ἔπιον θ', ὅσον ἤθελε θυμός,
but when they-had-poured both drunk and as-much-as wished the-heart
δὴ τότ' Ἀθηναίη καὶ Τηλέμαχος θεοειδὴς
indeed then Athena and Telemachus godlike
ἄμφω ἱέσθην κοίλην ἐπὶ νῆα νέεσθαι.
both were-eager hollow to ship to-return
Νέστωρ δ' αὖ κατέρυκε καθαπτόμενος ἐπέεσσιν·
Nestor and in-turn held(-them)-back accosting with-words
"Ζεὺς τό γ' ἀλεξήσειε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Zeus this indeed may-he-forbid and immortal gods other
ὡς ὑμεῖς παρ' ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε
that you from me swift to ship should-go
ὥς τέ τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠδὲ πενιχροῦ,
as — someone or from utterly clothless and poor
ᾧ οὔ τι χλαῖναι καὶ ῥήγεα πόλλ' ἐνὶ οἴκῳ,
to-whom not at-all cloaks and blankets many in house
οὔτ' αὐτῷ μαλακῶς οὔτε ξείνοισιν ἐνεύδειν.
neither for-himself softly nor for-guests to-sleep
αὐτὰρ ἐμοὶ πάρα μὲν χλαῖναι καὶ ῥήγεα καλά.
but for-me at-hand indeed cloaks and blankets fair

οὔ θην δὴ τοῦδ' ἀνδρὸς Ὀδυσσῆος φίλος υἱὸς
not surely indeed of-this man Odysseus the-dear son
νηὸς ἐπ' ἰκριόφιν καταλέξεται, ὄφρ' ἂν ἐγώ γε
of-the-ship on the-deck will-lie-down while — I indeed
ζώω, ἔπειτα δὲ παῖδες ἐνὶ μεγάροισι λίπωνται,
live then and sons in the-halls are-left
ξείνους ξεινίζειν, ὅς τίς κ' ἐμὰ δώμαθ' ἵκηται." 355
guests to-entertain whoever any — my house comes-to

Τὸν δ' αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"Εὖ δὴ ταῦτά γ' ἔφησθα, γέρον φίλε· σοὶ δὲ ἔοικεν
Well indeed these-things indeed you-have-spoken old-man dear to-you and it-is-fitting
Τηλέμαχον πείθεσθαι, ἐπεὶ πολὺ κάλλιον οὕτως.
Telemachus to-obey since much better thus
ἀλλ' οὗτος μὲν νῦν σοὶ ἅμ' ἕψεται, ὄφρα κεν εὕδῃ
but he indeed now you with will-follow so-that — he-may-sleep
σοῖσιν ἐνὶ μεγάροισιν· ἐγὼ δ' ἐπὶ νῆα μέλαιναν 360
your in halls I and to the-ship black
εἶμ', ἵνα θαρσύνω θ' ἑτάρους εἴπω τε ἕκαστα.
go so-that I-may-encourage both the-comrades tell and each-thing
οἷος γὰρ μετὰ τοῖσι γεραίτερος εὔχομαι εἶναι·
alone for among them older I-declare-myself to-be
οἱ δ' ἄλλοι φιλότητι νεώτεροι ἄνδρες ἕπονται,
they and other in-friendship younger men follow
πάντες ὁμηλικίη μεγαθύμου Τηλεμάχοιο.
all of-the-same-age of-great-hearted Telemachus

ἔνθα κε λεξαίμην κοίλῃ παρὰ νηὶ μελαίνῃ
there — I-would-lie-down hollow by ship black
νῦν· ἀτὰρ ἠῶθεν μετὰ Καύκωνας μεγαθύμους
now but at-dawn to the-Cauconians great-hearted
εἶμ᾽ ἔνθα χρεΐός μοι ὀφέλλεται, οὔ τι νέον γε
I-go where a-debt to-me is-owed not at-all new indeed
οὐδ᾽ ὀλίγον. σὺ δὲ τοῦτον, ἐπεὶ τεὸν ἵκετο δῶμα,
nor small you and him since your he-came house
πέμψον σὺν δίφρῳ τε καὶ υἱέι· δὸς δέ οἱ ἵππους,
send with chariot both and son give and to-him horses
οἵ τοι ἐλαφρότατοι θείειν καὶ κάρτος ἄριστοι.᾽᾽
which for-you lightest to-run and in-strength best
Ὣς ἄρα φωνήσασ᾽ ἀπέβη γλαυκῶπις Ἀθήνη
So then having-spoken departed flashing-eyed Athena
φήνῃ εἰδομένη· θάμβος δ᾽ ἕλε πάντας ἰδόντας.
to-a-sea-eagle likened amazement and seized all seeing(-it)
θαύμαζεν δ᾽ ὁ γεραιός, ὅπως ἴδεν ὀφθαλμοῖσι·
marveled and the old-man when he-saw with-eyes
Τηλεμάχου δ᾽ ἕλε χεῖρα, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
of-Telemachus and he-took the-hand word and spoke out and named(-him)
᾽᾽ Ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι,
O friend not you I-expect base and cowardly to-be
εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.
if indeed you young so gods as-guides follow
οὐ μὲν γάρ τις ὅδ᾽ ἄλλος Ὀλύμπια δώματ᾽ ἐχόντων,
not indeed for anyone this other Olympian homes of-those-who-hold
ἀλλὰ Διὸς θυγάτηρ, κυδίστη τριτογένεια,
but of-Zeus the-daughter most-glorious trito-born
ἥ τοι καὶ πατέρ᾽ ἐσθλὸν ἐν Ἀργείοισιν ἐτίμα.
who your also father noble among the-Argives honored

ἀλλὰ ἄνασσ' ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν,
but queen be-gracious give and to-me fame good
αὐτῷ καὶ παίδεσσι καὶ αἰδοίῃ παρακοίτι·
to-myself and to-children and to-revered wife
σοὶ δ' αὖ ἐγὼ ῥέξω βοῦν ἦνιν εὐρυμέτωπον
to-you and in-turn I will-sacrifice a-heifer yearling broad-browed
ἀδμήτην, ἣν οὔ πω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·
unbroken which not yet under the-yoke led a-man
τήν τοι ἐγὼ ῥέξω χρυσὸν κέρασιν περιχεύας."
her to-you I will-sacrifice gold on-horns having-poured-around
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη.
So he-spoke praying him and heard Pallas Athena
τοῖσιν δ' ἡγεμόνευε Γερήνιος ἱππότα Νέστωρ,
them and led Gerenian horseman Nestor
υἱάσι καὶ γαμβροῖσιν, ἑὰ πρὸς δώματα καλά.
sons and sons-in-law his-own to house fair
ἀλλ' ὅτε δώμαθ' ἵκοντο ἀγακλυτὰ τοῖο ἄνακτος,
but when the-house they-reached very-famous of-that lord
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
in-a-row they-sat on armchairs both chairs and
τοῖς δ' ὅ γέρων ἐλθοῦσιν ἀνὰ κρητῆρα κέρασσεν
for-them and the old-man on-coming up a-mixing-bowl mixed
οἴνου ἡδυπότοιο, τὸν ἑνδεκάτῳ ἐνιαυτῷ
of-wine sweet-to-drink which in-the-eleventh year
ὤιξεν ταμίη καὶ ἀπὸ κρήδεμνον ἔλυσε·
opened the-housekeeper and off the-cover loosed
τοῦ ὅ γέρων κρητῆρα κεράσσατο, πολλὰ δ' Ἀθήνῃ
of-it the old-man a-mixing-bowl mixed much and to-Athena
εὔχετ' ἀποσπένδων, κούρῃ Διὸς αἰγιόχοιο.
prayed pouring-libation to-the-daughter of-Zeus aegis-bearing

Αὐτὰρ ἐπεὶ σπείσάν τ᾽ ἔπιον θ᾽, ὅσον ἤθελε θυμός,
But when they-had-poured both drunk and as-much-as wished the-heart
οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
they indeed going-to-bed went homeward each
τὸν δ᾽ αὐτοῦ κοίμησε Γερήνιος ἱππότα Νέστωρ,
him and there laid-to-rest Gerenian horseman Nestor
Τηλέμαχον, φίλον υἱὸν Ὀδυσσῆος θείοιο,
Telemachus dear son of-Odysseus godlike
τρητοῖς ἐν λεχέεσσιν ὑπ᾽ αἰθούσῃ ἐριδούπῳ,
corded on bedsteads under the-portico echoing
πὰρ᾽ δ᾽ ἄρ᾽ ἐυμμελίην Πεισίστρατον, ὄρχαμον ἀνδρῶν,
beside and then good-at-the-ash-spear Peisistratus leader of-men
ὅς οἱ ἔτ᾽ ἠίθεος παίδων ἦν ἐν μεγάροισιν·
who to-him still unmarried of-the-sons was in the-halls
αὐτὸς δ᾽ αὖτε καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
he-himself and in-turn slept in-the-inmost-part of-the-house lofty
τῷ δ᾽ ἄλοχος δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.
for-him and the-wife the-lady bed prepared and couch

At dawn Nestor and his sons sacrifice a heifer to Athena, the smith Laerces gilding its horns and Thrasymedes striking it. Polycaste bathes Telemachus, and they feast. Nestor has his sons yoke a chariot for Telemachus, who drives with Peisistratus to Pherae, where they spend the night with Diocles. Next day they reach a wheat-bearing plain as the sun sets.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
ὦρνυτ' ἄρ' ἐξ εὐνῆφι Γερήνιος ἱππότα Νέστωρ,
rose then from bed Gerenian horseman Nestor
ἐκ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ ξεστοῖσι λίθοισιν,
out and coming down then sat on polished stones
οἵ οἱ ἔσαν προπάροιθε θυράων ὑψηλάων,
which for-him were in-front-of the-doors lofty
λευκοί, ἀποστίλβοντες ἀλείφατος· οἷς ἔπι μὲν πρὶν
white glistening with-oil which on indeed before
Νηλεὺς ἵζεσκεν, θεόφιν μήστωρ ἀτάλαντος·
Neleus used-to-sit to-the-gods counselor equal
ἀλλ' ὁ μὲν ἤδη κηρὶ δαμεὶς Ἄιδόσδε βεβήκει,
but he indeed already by-fate subdued to-Hades had-gone
Νέστωρ αὖ τότ' ἐφίζε Γερήνιος, οὖρος Ἀχαιῶν,
Nestor in-turn then sat Gerenian warden of-the-Achaeans
σκῆπτρον ἔχων. περὶ δ' υἷες ἀολλέες ἠγερέθοντο
a-staff holding around and sons in-a-body gathered
ἐκ θαλάμων ἐλθόντες, Ἐχέφρων τε Στρατίος τε
from the-chambers coming Echephron both Stratius and
Περσεύς τ' Ἄρητός τε καὶ ἀντίθεος Θρασυμήδης.
Perseus and Aretus and and godlike Thrasymedes

τοῖσι δ' ἔπειθ' ἕκτος Πεισίστρατος ἦλυθεν ἥρως,
to-them and then sixth Peisistratus came the-hero
πὰρ δ' ἄρα Τηλέμαχον θεοείκελον εἶσαν ἄγοντες.
beside and then Telemachus godlike they-seated leading(-him)
τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
to-them and of-speeches began Gerenian horseman Nestor
"Καρπαλίμως μοι, τέκνα φίλα, κρηήνατ' ἐέλδωρ,
Quickly for-me children dear accomplish the-wish
ὄφρ' ἦ τοι πρώτιστα θεῶν ἱλάσσομ' Ἀθήνην,
so-that truly indeed first-of-all of-the-gods I-may-propitiate Athena
ἥ μοι ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν.
who to-me manifest came of-the-god to the-feast abundant
ἀλλ' ἄγ' ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα
but come one indeed to-the-plain for a-heifer let-him-go so-that most-quickly
ἔλθῃσιν, ἐλάσῃ δὲ βοῶν ἐπιβουκόλος ἀνήρ·
she-may-come may-drive and of-the-cattle the-herdsman man
εἷς δ' ἐπὶ Τηλεμάχου μεγαθύμου νῆα μέλαιναν
one and to of-Telemachus great-hearted the-ship black
πάντας ἰὼν ἑτάρους ἀγέτω, λιπέτω δὲ δύ' οἴους·
all going the-comrades let-him-bring let-him-leave and two only
εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
one and in-turn the-goldsmith Laerces hither let-him-bid
ἐλθεῖν, ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ.
to-come so-that of-the-heifer gold on-horns he-may-pour-around
οἱ δ' ἄλλοι μένετ' αὐτοῦ ἀολλέες, εἴπατε δ' εἴσω
you and others stay here in-a-body tell and inside
δμῳῇσιν κατὰ δώματ' ἀγακλυτὰ δαῖτα πένεσθαι,
the-maidservants through the-house glorious a-feast to-prepare
ἕδρας τε ξύλα τ' ἀμφὶ καὶ ἀγλαὸν οἰσέμεν ὕδωρ."
seats both logs and around and bright to-bring water

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐποίπνυον. ἦλθε μὲν ἂρ βοῦς
So he-spoke they and then all bustled came indeed then the-heifer
ἐκ πεδίου, ἦλθον δὲ θοῆς παρὰ νηὸς ἐίσης
from the-plain came and swift from the-ship balanced
Τηλεμάχου ἕταροι μεγαλήτορος, ἦλθε δὲ χαλκεὺς
of-Telemachus the-comrades great-hearted came and the-smith
ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια, πείρατα τέχνης,
tools in hands holding of-bronze the-instruments of-craft
ἄκμονά τε σφῦράν τ' ἐυποίητόν τε πυράγρην,
anvil both hammer and well-made and tongs
οἷσίν τε χρυσὸν εἰργάζετο· ἦλθε δ' Ἀθήνη
with-which — gold he-worked came and Athena
ἱρῶν ἀντιόωσα. γέρων δ' ἱππηλάτα Νέστωρ
the-sacrifice coming-to-meet the-old-man and charioteer Nestor
χρυσὸν ἔδωχ'· ὁ δ' ἔπειτα βοὸς κέρασιν περίχευεν
gold gave he and then of-the-heifer the-horns poured-around
ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα.
having-worked(-it) so-that the-offering the-goddess might-rejoice seeing
βοῦν δ' ἀγέτην κεράων Στρατίος καὶ δῖος Ἐχέφρων.
the-heifer and led-the-two by-the-horns Stratius and noble Echephron
χέρνιβα δέ σφ' Ἄρητος ἐν ἀνθεμόεντι λέβητι
water-for-hands and for-them Aretus in flowered basin
ἤλυθεν ἐκ θαλάμοιο φέρων, ἑτέρῃ δ' ἔχεν οὐλὰς
came from the-chamber carrying in-the-other and he-held barley
ἐν κανέῳ· πέλεκυν δὲ μενεπτόλεμος Θρασυμήδης
in a-basket the-ax and steadfast-in-battle Thrasymedes
ὀξὺν ἔχων ἐν χειρὶ παρίστατο βοῦν ἐπικόψων.
sharp holding in hand stood-by the-heifer to-strike

Περσεὺς δ' ἀμνίον εἶχε· γέρων δ' ἱππηλάτα Νέστωρ
Perseus and the-bowl held the-old-man and charioteer Nestor
χέρνιβά τ' οὐλοχύτας τε κατήρχετο, πολλὰ δ' Ἀθήνῃ
the-water-for-hands both barley and began much and to-Athena
εὔχετ' ἀπαρχόμενος, κεφαλῆς τρίχας ἐν πυρὶ βάλλων.
prayed making-first-offering of-the-head hairs into fire casting
Αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
But when then they-had-prayed and barley had-thrown-forward
αὐτίκα Νέστορος υἱὸς ὑπέρθυμος Θρασυμήδης
at-once of-Nestor the-son high-spirited Thrasymedes
ἄλασεν ἄγχι στάς· πέλεκυς δ' ἀπέκοψε τένοντας
struck near standing the-ax and cut-through the-sinews
αὐχενίους, λῦσεν δὲ βοὸς μένος. αἱ δ' ὀλόλυξαν
of-the-neck loosed and of-the-heifer the-strength they and raised-the-cry
θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις
daughters both daughters-in-law and and revered wife
Νέστορος, Εὐρυδίκη, πρέσβα Κλυμένοιο θυγατρῶν.
of-Nestor Eurydice eldest of-Clymenus of-the-daughters
οἱ μὲν ἔπειτ' ἀνελόντες ἀπὸ χθονὸς εὐρυοδείης
they indeed then lifting from the-earth broad-wayed
ἔσχον· ἀτὰρ σφάξεν Πεισίστρατος, ὄρχαμος ἀνδρῶν.
held(-her) but slaughtered(-her) Peisistratus leader of-men
τῆς δ' ἐπεὶ ἐκ μέλαν αἷμα ῥύη, λίπε δ' ὀστέα θυμός,
of-her and when out black blood flowed left and the-bones the-spirit
αἶψ' ἄρα μιν διέχευαν, ἄφαρ δ' ἐκ μηρία τάμνον
quickly then her they-cut-up straightway and out thigh-pieces they-cut
πάντα κατὰ μοῖραν, κατά τε κνίσῃ ἐκάλυψαν
all according-to due over and with-fat covered
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.
double making on them and laid-raw-bits

καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
burned and on split-wood the old-man on and sparkling wine
λείβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
poured young-men and beside him held five-pronged-forks in-hands
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχνα πάσαντο,
but when down the-thighs were-burned and the-entrails they-tasted
μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
cut-up both then the-rest and around spits pierced
ὤπτων δ' ἀκροπόρους ὀβελοὺς ἐν χερσὶν ἔχοντες.
roasted and pointed spits in hands holding
Τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ Πολυκάστη,
Meanwhile and Telemachus bathed fair Polycaste
Νέστορος ὁπλοτάτη θυγάτηρ Νηληιάδαο.
of-Nestor youngest daughter of-Neleus'-son
αὐτὰρ ἐπεὶ λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
but when she-had-bathed both and anointed richly with-oil
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα,
around and him a-cloak fair she-cast and a-tunic
ἔκ ῥ' ἀσαμίνθου βῆ δέμας ἀθανάτοισιν ὁμοῖος·
out then from-the-bathtub went in-form to-immortals like
πὰρ δ' ὅ γε Νέστορ' ἰὼν κατ' ἄρ' ἕζετο, ποιμένα λαῶν.
beside and he indeed Nestor going down then sat shepherd of-the-people
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
They and when they-had-roasted the-meats outer and drew-off(-the-spits)
δαίνυνθ' ἑζόμενοι· ἐπὶ δ' ἀνέρες ἐσθλοὶ ὄροντο
feasted sitting over and men good rose
οἶνον οἰνοχοεῦντες ἐνὶ χρυσέοις δεπάεσσιν.
wine pouring in golden cups

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
τοῖσι δὲ μύθων ἦρχε Γερήνιος ἱππότα Νέστωρ·
to-them and of-speeches began Gerenian horseman Nestor
"Παῖδες ἐμοί, ἄγε Τηλεμάχῳ καλλίτριχας ἵππους
Children my come for-Telemachus fair-maned horses
ζεύξαθ' ὑφ' ἅρματ' ἄγοντες, ἵνα πρήσσῃσιν ὁδοῖο."
yoke under chariot leading so-that he-may-accomplish of-the-journey
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
So he-spoke they and then him very indeed heard and obeyed
καρπαλίμως δ' ἔζευξαν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
swiftly and they-yoked under chariot swift horses
ἐν δὲ γυνὴ ταμίη σῖτον καὶ οἶνον ἔθηκεν
in and a-woman housekeeper bread and wine put
ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.
dainties both such-as eat Zeus-nurtured kings
ἂν δ' ἄρα Τηλέμαχος περικαλλέα βήσετο δίφρον·
up and then Telemachus very-fair mounted chariot
πὰρ δ' ἄρα Νεστορίδης Πεισίστρατος, ὄρχαμος ἀνδρῶν,
beside and then son-of-Nestor Peisistratus leader of-men
ἐς δίφρον τ' ἀνέβαινε καὶ ἡνία λάζετο χερσί,
into chariot both went-up and the-reins took in-hands
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην
he-whipped and to-drive they-two and not unwilling flew
ἐς πεδίον, λιπέτην δὲ Πύλου αἰπὺ πτολίεθρον.
into the-plain left and of-Pylos the-steep citadel
οἱ δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντες.
they and all-day shook the-yoke on-both-sides holding

Δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί,
Set and the-sun were-darkened and all the-streets
ἐς Φηρὰς δ᾽ ἵκοντο Διοκλῆος ποτὶ δῶμα,
to Pherae and they-came of-Diocles to house
υἱέος Ὀρτιλόχοιο, τὸν Ἀλφειὸς τέκε παῖδα.
of-the-son of-Ortilochus whom Alpheus begot as-child
ἔνθα δὲ νύκτ᾽ ἄεσαν, ὁ δὲ τοῖς πὰρ ξείνια θῆκεν.
there and the-night they-slept he and to-them by guest-gifts set
Ἧμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
ἵππους τε ζεύγνυντ᾽ ἀνά θ᾽ ἅρματα ποικίλ᾽ ἔβαινον·
horses both they-yoked up and chariots inlaid mounted
ἐκ δ᾽ ἔλασαν προθύροιο καὶ αἰθούσης ἐριδούπου·
out and drove from-the-gateway and portico echoing
μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἀέκοντε πετέσθην.
he-whipped and to-drive they-two and not unwilling flew
ἵξον δ᾽ ἐς πεδίον πυρηφόρον, ἔνθα δ᾽ ἔπειτα
they-came and into plain wheat-bearing there and then
ἦνον ὁδόν· τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι.
they-finished the-way so for carried(-them)-on swift horses
δύσετό τ᾽ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί.
set and the-sun were-darkened and all the-streets

BOOK IV

IV.1 · THE PALACE OF MENELAUS

At Sparta Menelaus is celebrating the marriages of his daughter, sent to Achilles' son, and of his son Megapenthes. Eteoneus asks whether to receive the two strangers, and Menelaus angrily bids him welcome them. Telemachus whispers to Peisistratus that the gleaming palace is like Zeus' own. Menelaus answers that no mortal vies with Zeus, tells how he gathered his wealth in years of wandering while another killed his brother by the guile of the brother's wife, and grieves most for Odysseus. Telemachus weeps, and Menelaus, noticing, wonders whether to ask him outright.

Οἱ δ' ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν,
They and reached hollow Lacedaemon full-of-ravines
πρὸς δ' ἄρα δώματ' ἔλων Μενελάου κυδαλίμοιο.
to and then the-house they-drove of-Menelaus glorious
τὸν δ' εὗρον δαινύντα γάμον πολλοῖσιν ἔτῃσιν
him and they-found giving-a-feast wedding for-many kinsmen
υἱέος ἠδὲ θυγατρὸς ἀμύμονος ᾧ ἐνὶ οἴκῳ.
of-son and of-daughter blameless his-own in house
τὴν μὲν Ἀχιλλῆος ῥηξήνορος υἱέι πέμπεν·
her indeed of-Achilles breaker-of-men to-the-son he-was-sending
ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσε
in Troy for first he-promised and nodded-assent
δωσέμεναι, τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον.
to-give for-them and the-gods the-marriage were-accomplishing
τὴν ἄρ' ὅ γ' ἔνθ' ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι
her then he indeed there with-horses and chariots sent to-go
Μυρμιδόνων προτὶ ἄστυ περικλυτόν, οἷσιν ἄνασσεν.
of-the-Myrmidons to the-city very-famous whom he-ruled
υἱέι δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην,
for-the-son and from-Sparta of-Alector he-was-bringing the-daughter

ὅς οἱ τηλύγετος γένετο κρατερὸς Μεγαπένθης
who to-him late-born was strong Megapenthes
ἐκ δούλης· Ἑλένῃ δὲ θεοὶ γόνον οὐκέτ' ἔφαινον,
from a-slave-woman to-Helen and the-gods offspring no-longer showed
ἐπεὶ δὴ τὸ πρῶτον ἐγείνατο παῖδ' ἐρατεινήν,
since indeed the first she-bore a-child lovely
Ἑρμιόνην, ἣ εἶδος ἔχε χρυσέης Ἀφροδίτης.
Hermione who form had of-golden Aphrodite
ὣς οἱ μὲν δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα
so they indeed were-feasting in high-roofed great house
γείτονες ἠδὲ ἕταιροι Μενελάου κυδαλίμοιο,
neighbors and kinsmen of-Menelaus glorious
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
delighting among and them sang divine minstrel
φορμίζων, δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτούς,
playing-the-lyre two and tumblers among them
μολπῆς ἐξάρχοντος, ἐδίνευον κατὰ μέσσους.
the-song leading-off whirled in the-middle
Τὼ δ' αὖτ' ἐν προθύροισι δόμων αὐτῷ τε καὶ ἵπποι,
The-two and in-turn in the-gateway of-house themselves both and horses
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός,
Telemachus and the-hero and of-Nestor glorious son
στῆσαν· ὁ δὲ προμολὼν ἴδετο κρείων Ἐτεωνεύς,
halted he and coming-forth saw lord Eteoneus
ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο,
busy attendant of-Menelaus glorious
βῆ δ' ἴμεν ἀγγελέων διὰ δώματα ποιμένι λαῶν,
went and to-go to-announce through the-house to-the-shepherd of-the-people
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
near and standing words winged addressed

"Ξείνω δή τινε τώδε, διοτρεφὲς ὦ Μενέλαε,
Strangers indeed some these-two Zeus-nurtured O Menelaus
ἄνδρε δύω, γενεῇ δὲ Διὸς μεγάλοιο ἔικτον.
men two in-race and of-Zeus great are-like
ἀλλ' εἶπ', ἤ σφωιν καταλύσομεν ὠκέας ἵππους,
but say whether for-the-two-of-them we-shall-unyoke swift horses
ἦ ἄλλον πέμπωμεν ἱκανέμεν, ὅς κε φιλήσῃ."
or another shall-we-send to-go who — may-welcome(-them)
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Him and greatly vexed addressed fair-haired Menelaus
"Οὐ μὲν νήπιος ἦσθα, Βοηθοΐδη Ἐτεωνεῦ,
Not indeed a-fool you-were son-of-Boethous Eteoneus
τὸ πρίν· ἀτὰρ μὲν νῦν γε πάις ὣς νήπια βάζεις.
the formerly but indeed now indeed a-child like childish-things you-babble
ἦ μὲν δὴ νῶι ξεινήια πολλὰ φαγόντε
truly indeed truly we-two hospitality much having-eaten
ἄλλων ἀνθρώπων δεῦρ' ἱκόμεθ', αἴ κέ ποθι Ζεὺς
of-other men hither came if — somehow Zeus
ἐξοπίσω περ παύσῃ ὀιζύος. ἀλλὰ λύ' ἵππους
hereafter indeed should-stop(-us) from-misery but loose the-horses
ξείνων, ἐς δ' αὐτοὺς προτέρω ἄγε θοινηθῆναι."
of-the-strangers in and them forward lead to-be-feasted
Ὣς φάθ', ὁ δὲ μεγάροιο διέσσυτο, κέκλετο δ' ἄλλους
So he-spoke he and through-the-hall rushed called and others
ὀτρηροὺς θεράποντας ἅμα σπέσθαι ἑοῖ αὐτῷ.
busy attendants along-with to-follow him himself
οἱ δ' ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας,
they and the-horses indeed loosed under the-yoke sweating
καὶ τοὺς μὲν κατέδησαν ἐφ' ἱππείῃσι κάπῃσι,
and them indeed tied at horses' mangers

πὰρ δ' ἔβαλον ζειάς, ἀνὰ δὲ κρῖ λευκὸν ἔμιξαν,
beside and threw spelt up and barley white mixed
ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα,
the-chariots and leaned against the-walls all-gleaming
αὐτοὺς δ' εἰσῆγον θεῖον δόμον. οἱ δὲ ἰδόντες
themselves and led-in divine house they and seeing(-it)
θαύμαζον κατὰ δῶμα διοτρεφέος βασιλῆος·
marveled through the-house of-the-Zeus-nurtured king
ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης
as — for of-the-sun gleam was or of-the-moon
δῶμα καθ' ὑψερεφὲς Μενελάου κυδαλίμοιο.
the-house through high-roofed of-Menelaus glorious
αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
but when they-were-satisfied seeing with-eyes
ἔς ῥ' ἀσαμίνθους βάντες ἐυξέστας λούσαντο.
into then bathtubs going well-polished they-bathed
τοὺς δ' ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
them and when then maidservants bathed and anointed with-oil
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας,
around and then cloaks woolly cast and tunics
ἔς ῥα θρόνους ἕζοντο παρ' Ἀτρεΐδην Μενέλαον.
on then chairs they-sat by son-of-Atreus Menelaus
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
water-for-hands and a-maid from-a-ewer poured-over bringing
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
fair golden over silver basin
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
to-wash beside and polished she-set-out table
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
bread and modest housekeeper set-beside bringing

εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
foods many adding giving-freely from-what-was-there
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας
the-carver and of-meats platters set-beside lifting
παντοίων, παρὰ δέ σφι τίθει χρύσεια κύπελλα.
of-all-kinds beside and for-them set golden cups
τὼ καὶ δεικνύμενος προσέφη ξανθὸς Μενέλαος·
those-two also greeting addressed fair-haired Menelaus
"Σίτου θ' ἅπτεσθον καὶ χαίρετον. αὐτὰρ ἔπειτα
Food both lay-hold(-you-two) and be-glad but then
δείπνου passαμένω εἰρησόμεθ', οἵ τινές ἐστον
of-dinner having-tasted we-will-ask who — you-two-are
ἀνδρῶν· οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων,
of-men not for of-you-two indeed the-race has-perished of-parents
ἀλλ' ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων
but of-men race you-are Zeus-nurtured kings
σκηπτούχων, ἐπεὶ οὔ κε κακοὶ τοιούσδε τέκοιεν."
sceptered since not — base-men such would-beget
Ὣς φάτο, καί σφιν νῶτα βοὸς παρὰ πίονα θῆκεν
So he-spoke and to-them chine of-ox beside fat he-set
ὄπτ' ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ.
roasted in hands taking which then to-him as-honor they-had-set-beside himself
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
δὴ τότε Τηλέμαχος προσεφώνεε Νέστορος υἱόν,
indeed then Telemachus addressed of-Nestor the-son
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι·
near holding (his)-head so-that not might-hear the others

"Φράζεο, Νεστορίδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ,
Mark son-of-Nestor to-the my dear heart
χαλκοῦ τε στεροπὴν κὰδ δώματα ἠχήεντα
of-bronze both the-flashing through the-house echoing
χρυσοῦ τ' ἠλέκτρου τε καὶ ἀργύρου ἠδ' ἐλέφαντος.
of-gold and of-electrum and and of-silver and of-ivory
Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή,
of-Zeus surely such indeed Olympian within the-court
ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσορόωντα."
how-many these unspeakable many awe me holds looking-at(-them)

Τοῦ δ' ἀγορεύοντος ξύνετο ξανθὸς Μενέλαος,
Him and speaking heard fair-haired Menelaus
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and them having-spoken words winged addressed
"Τέκνα φίλ', ἦ τοι Ζηνὶ βροτῶν οὐκ ἄν τις ἐρίζοι·
Children dear truly indeed with-Zeus of-mortals not — anyone could-vie
ἀθάνατοι γὰρ τοῦ γε δόμοι καὶ κτήματ' ἔασιν·
immortal for his indeed houses and possessions are
ἀνδρῶν δ' ἤ κέν τίς μοι ἐρίσσεται, ἠὲ καὶ οὐκί,
of-men but whether — anyone with-me will-vie or also not
κτήμασιν. ἦ γὰρ πολλὰ παθὼν καὶ πόλλ' ἐπαληθεὶς
in-possessions truly for much having-suffered and much having-wandered
ἠγαγόμην ἐν νηυσὶ καὶ ὀγδοάτῳ ἔτει ἦλθον,
I-brought(-them) in ships and in-the-eighth year came
Κύπρον Φοινίκην τε καὶ Αἰγυπτίους ἐπαληθείς,
Cyprus Phoenicia and and the-Egyptians having-wandered-to
Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβοὺς
the-Ethiopians and I-reached and the-Sidonians and the-Erembi
καὶ Λιβύην, ἵνα τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι.
and Libya where — lambs straightway horned grow

τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν.
thrice for bear the-flocks full into year
ἔνθα μὲν οὔτε ἄναξ ἐπιδευὴς οὔτε τι ποιμὴν
there indeed neither lord lacking nor any shepherd
τυροῦ καὶ κρειῶν οὐδὲ γλυκεροῖο γάλακτος,
of-cheese and of-meats nor of-sweet milk
ἀλλ᾽ αἰεὶ παρέχουσιν ἐπηετανὸν γάλα θῆσθαι.
but always they-provide all-year-round milk to-suck
ἦος ἐγὼ περὶ κεῖνα πολὺν βίοτον συναγείρων
while I about those-parts much livelihood gathering
ἠλώμην, τῆός μοι ἀδελφεὸν ἄλλος ἔπεφνεν
wandered meanwhile my brother another slew
λάθρῃ, ἀνωιστί, δόλῳ οὐλομένης ἀλόχοιο·
secretly unawares by-guile of-accursed wife
ὣς οὔ τοι χαίρων τοῖσδε κτεάτεσσιν ἀνάσσω.
so not you-know rejoicing over-these possessions I-rule
καὶ πατέρων τάδε μέλλετ᾽ ἀκουέμεν, οἵ τινες ὑμῖν
and from-fathers these-things you-must to-have-heard who any to-you
εἰσίν, ἐπεὶ μάλα πολλὰ πάθον, καὶ ἀπώλεσα οἶκον
are since very much I-suffered and lost a-house
εὖ μάλα ναιετάοντα, κεχανδότα πολλὰ καὶ ἐσθλά.
well very inhabited containing many and good-things
ὧν ὄφελον τριτάτην περ ἔχων ἐν δώμασι μοῖραν
of-which I-ought a-third indeed having in halls portion
ναίειν, οἱ δ᾽ ἄνδρες σόοι ἔμμεναι, οἳ τότ᾽ ὄλοντο
to-dwell the and men safe to-be who then perished
Τροίῃ ἐν εὐρείῃ ἑκὰς Ἄργεος ἱπποβότοιο.
Troy in broad far-from Argos horse-pasturing

ἀλλ᾽ ἔμπης πάντας μὲν ὀδυρόμενος καὶ ἀχεύων
but nevertheless all indeed mourning and grieving
πολλάκις ἐν μεγάροισι καθήμενος ἡμετέροισιν
often in halls sitting our
ἄλλοτε μέν τε γόῳ φρένα τέρπομαι, ἄλλοτε δ᾽ αὖτε
at-times indeed — with-lament heart I-delight at-times and in-turn
παύομαι· αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο.
I-cease swift and surfeit of-chill lament
τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
of-them all not so-much I-mourn grieving though
ὡς ἑνός, ὅς τέ μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδὴν
as for-one who — to-me sleep makes-hateful and food
μνωομένῳ, ἐπεὶ οὔ τις Ἀχαιῶν τόσσ᾽ ἐμόγησεν,
when-I-remember since not any of-the-Achaeans so-much toiled
ὅσσ᾽ Ὀδυσεὺς ἐμόγησε καὶ ἤρατο. τῷ δ᾽ ἄρ᾽ ἔμελλεν
as-much-as Odysseus toiled and undertook to-him and then it-was-destined
αὐτῷ κήδε᾽ ἔσεσθαι, ἐμοὶ δ᾽ ἄχος αἰὲν ἄλαστον
himself troubles to-be for-me and grief ever unforgettable
κείνου, ὅπως δὴ δηρὸν ἀποίχεται, οὐδέ τι ἴδμεν,
for-him how indeed long he-is-gone nor at-all do-we-know
ζώει ὅ γ᾽ ἢ τέθνηκεν. ὀδύρονταί νύ που αὐτὸν
lives he indeed or has-died mourn now surely him
Λαέρτης θ᾽ ὁ γέρων καὶ ἐχέφρων Πηνελόπεια
Laertes and the old-man and sensible Penelope
Τηλέμαχός θ᾽, ὃν ἔλειπε νέον γεγαῶτ᾽ ἐνὶ οἴκῳ.᾽᾽
Telemachus and whom he-left newly born in house
Ὣς φάτο, τῷ δ᾽ ἄρα πατρὸς ὑφ᾽ ἵμερον ὦρσε γόοιο.
So he-spoke in-him and then for-father beneath a-longing roused for-lament
δάκρυ δ᾽ ἀπὸ βλεφάρων χαμάδις βάλε πατρὸς ἀκούσας,
a-tear and from eyelids to-the-ground he-let-fall of-father hearing

χλαῖναν πορφυρέην ἄντ᾽ ὀφθαλμοῖιν ἀνασχὼν
cloak purple before eyes holding-up
ἀμφοτέρῃσιν χερσί. νόησε δέ μιν Μενέλαος,
with-both hands noticed and him Menelaus
μερμήριξε δ᾽ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
pondered and then in mind and in heart
ἠέ μιν αὐτὸν πατρὸς ἐάσειε μνησθῆναι
whether him himself of-father he-should-let to-make-mention
ἦ πρῶτ᾽ ἐξερέοιτο ἕκαστά τε πειρήσαιτο.
or first should-question each-thing and test(-him)

IV.2 · HELEN RECOGNIZES TELEMACHUS

Helen comes in with her spinning, the gifts of the Egyptian Alcandre, and at once remarks how the stranger resembles Telemachus, Odysseus' son. Menelaus agrees, and Peisistratus confirms that this is Telemachus, whom Nestor sent him to escort. Menelaus says he had meant to give Odysseus a city in Argos, and all weep. Peisistratus remembers his brother Antilochus, and Menelaus praises his good sense and Nestor's happy old age.

Ὣς ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
While he these-things pondered in mind and in heart
ἐκ δ᾽ Ἑλένη θαλάμοιο θυώδεος ὑψορόφοιο
out and Helen from-the-chamber fragrant high-roofed
ἤλυθεν Ἀρτέμιδι χρυσηλακάτῳ ἐικυῖα.
came to-Artemis of-the-golden-distaff like
τῇ δ᾽ ἄρ᾽ ἅμ᾽ Ἀδρήστη κλισίην εὔτυκτον ἔθηκεν,
for-her and then together Adreste a-chair well-made set
Ἀλκίππη δὲ τάπητα φέρεν μαλακοῦ ἐρίοιο,
Alcippe and a-rug brought of-soft wool

Φυλὼ δ' ἀργύρεον τάλαρον φέρε, τόν οἱ ἔδωκεν
Phylo and silver basket brought which to-her gave
Ἀλκάνδρη, Πολύβοιο δάμαρ, ὃς ἔναι' ἐνὶ Θήβῃς
Alcandre of-Polybus the-wife who dwelt in Thebes
Αἰγυπτίῃς, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται·
Egyptian where most houses in wealth lies
ὃς Μενελάῳ δῶκε δύ' ἀργυρέας ἀσαμίνθους,
who to-Menelaus gave two silver bathtubs
δοιοὺς δὲ τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα.
two and tripods ten and of-gold talents
χωρὶς δ' αὖθ' Ἑλένῃ ἄλοχος πόρε κάλλιμα δῶρα·
apart and in-turn to-Helen the-wife gave very-fair gifts
χρυσέην τ' ἠλακάτην τάλαρόν θ' ὑπόκυκλον ὄπασσεν
golden both a-distaff a-basket and wheeled bestowed
ἀργύρεον, χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο.
silver with-gold and on the-rims were-finished
τόν ῥά οἱ ἀμφίπολος Φυλὼ παρέθηκε φέρουσα
it then for-her handmaid Phylo set-beside bringing
νήματος ἀσκητοῖο βεβυσμένον· αὐτὰρ ἐπ' αὐτῷ
with-yarn spun filled but on it
ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα.
the-distaff was-laid violet-dark wool holding
ἕζετο δ' ἐν κλισμῷ, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν.
she-sat and on the-armchair under and a-footstool for-feet was
αὐτίκα δ' ἥ γ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα·
at-once and she indeed with-words husband asked each-thing
" Ἴδμεν δή, Μενέλαε διοτρεφές, οἵ τινες οἵδε
Do-we-know indeed Menelaus Zeus-nurtured who any these
ἀνδρῶν εὐχετόωνται ἱκανέμεν ἡμέτερον δῶ;
of-men declare to-have-come-to our house

ψεύσομαι ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
shall-I-lie or truth shall-I-speak bids and me heart
οὐ γάρ πώ τινά φημι ἐοικότα ὧδε ἰδέσθαι
not for yet anyone I-say like so to-have-seen
οὔτ' ἄνδρ' οὔτε γυναῖκα, σέβας μ' ἔχει εἰσορόωσαν,
neither man nor woman awe me holds looking
ὡς ὅδ' Ὀδυσσῆος μεγαλήτορος υἷι ἔοικε,
as this-one of-Odysseus great-hearted the-son resembles
Τηλεμάχῳ, τὸν ἔλειπε νέον γεγαῶτ' ἐνὶ οἴκῳ
Telemachus whom he-left newly born in house
κεῖνος ἀνήρ, ὅτ' ἐμεῖο κυνώπιδος εἵνεκ' Ἀχαιοὶ
that man when of-me shameless for-the-sake-of the-Achaeans
ἤλθεθ' ὑπὸ Τροίην πόλεμον θρασὺν ὁρμαίνοντες."
you-came beneath Troy war bold pondering
Τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
Her and answering addressed fair-haired Menelaus
"Οὕτω νῦν καὶ ἐγὼ νοέω, γύναι, ὡς σὺ εἰσκεις·
So now also I think wife as you liken(-him)
κείνου γὰρ τοιοίδε πόδες τοιαίδε τε χεῖρες
his for such feet such and hands
ὀφθαλμῶν τε βολαὶ κεφαλή τ' ἐφύπερθέ τε χαῖται.
of-eyes and glances head and above and hair
καὶ νῦν ἦ τοι ἐγὼ μεμνημένος ἀμφ' Ὀδυσῆι
and now truly indeed I remembering about Odysseus
μυθεόμην, ὅσα κεῖνος ὀιζύσας ἐμόγησεν
was-telling how-much he suffering toiled
ἀμφ' ἐμοί, αὐτὰρ ὁ πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβε,
for me but he bitter beneath brows tear shed
χλαῖναν πορφυρέην ἄντ' ὀφθαλμοῖιν ἀνασχών."
cloak purple before eyes holding-up

Τὸν δ' αὖ Νεστορίδης Πεισίστρατος ἀντίον ηὔδα·
Him and in-turn son-of-Nestor Peisistratus in-reply spoke
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
Son-of-Atreus Menelaus Zeus-nurtured leader of-the-people
κείνου μέν τοι ὅδ' υἱὸς ἐτήτυμον, ὡς ἀγορεύεις·
of-him indeed you-know this-one the-son truly as you-say
ἀλλὰ σαόφρων ἐστί, νεμεσσᾶται δ' ἐνὶ θυμῷ
but modest he-is is-ashamed and in heart
ὧδ' ἐλθὼν τὸ πρῶτον ἐπεσβολίας ἀναφαίνειν
thus coming the first wanton-words to-display
ἄντα σέθεν, τοῦ νῶι θεοῦ ὣς τερπόμεθ' αὐδῇ.
before you whose we-two of-a-god like delight in-the-voice
αὐτὰρ ἐμὲ προέηκε Γερήνιος ἱππότα Νέστωρ
but me sent-forth Gerenian horseman Nestor
τῷ ἅμα πομπὸν ἔπεσθαι· ἐέλδετο γάρ σε ἰδέσθαι,
with-him along as-escort to-follow he-desired for you to-see
ὄφρα οἱ ἤ τι ἔπος ὑποθήσεαι ἠέ τι ἔργον.
so-that to-him either any word you-might-suggest or any deed
πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς πάις οἰχομένοιο
many for pains has of-father the-child gone
ἐν μεγάροις, ᾧ μὴ ἄλλοι ἀοσσητῆρες ἔωσιν,
in halls to-whom not others helpers are
ὡς νῦν Τηλεμάχῳ ὁ μὲν οἴχεται, οὐδέ οἱ ἄλλοι
as now to-Telemachus he indeed is-gone nor for-him others
εἴσ' οἵ κεν κατὰ δῆμον ἀλάλκοιεν κακότητα."
are who — throughout the-land might-ward-off evil

Τὸν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
Him and answering addressed fair-haired Menelaus
" Ὤ πόποι, ἦ μάλα δὴ φίλου ἀνέρος υἱὸς ἐμὸν δῶ
Oh for-shame truly very indeed of-a-dear man the-son my house
ἵκεθ', ὃς εἵνεκ' ἐμεῖο πολέας ἐμόγησεν ἀέθλους·
has-come who for-the-sake-of me many toiled toils
καί μιν ἔφην ἐλθόντα φιλησέμεν ἔξοχον ἄλλων
and him I-said coming to-welcome above others
Ἀργείων, εἰ νῶιν ὑπεὶρ ἅλα νόστον ἔδωκε
Argives if to-us-two over the-sea return gave
νηυσὶ θοῇσι γενέσθαι Ὀλύμπιος εὐρύοπα Ζεύς.
with-ships swift to-happen Olympian far-seeing Zeus
καί κέ οἱ Ἄργεϊ νάσσα πόλιν καὶ δώματ' ἔτευξα,
and — for-him in-Argos I-would-have-founded a-city and a-house made
ἐξ Ἰθάκης ἀγαγὼν σὺν κτήμασι καὶ τέκεϊ ᾧ
from Ithaca bringing(-him) with possessions and child his-own
καὶ πᾶσιν λαοῖσι, μίαν πόλιν ἐξαλαπάξας,
and all people one city having-emptied
αἳ περιναιετάουσιν, ἀνάσσονται δ' ἐμοὶ αὐτῷ.
which dwell-around are-ruled and by-me myself
καί κε θάμ' ἐνθάδ' ἐόντες ἐμισγόμεθ'· οὐδέ κεν ἡμέας
and — often here being we-would-mingle nor — us
ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε,
other would-have-parted loving both delighting and
πρίν γ' ὅτε δὴ θανάτοιο μέλαν νέφος ἀμφεκάλυψεν.
before indeed when indeed of-death black cloud enveloped(-us)
ἀλλὰ τὰ μέν που μέλλεν ἀγάσσεσθαι θεὸς αὐτός,
but these-things indeed surely was-to begrudge the-god himself
ὃς κεῖνον δύστηνον ἀνόστιμον οἷον ἔθηκεν."
who him wretched without-return alone made

Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ᾽ ἵμερον ὦρσε γόοιο.
So he-spoke to-them and all beneath a-longing roused for-lament
κλαῖε μὲν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
wept indeed Argive Helen of-Zeus sprung
κλαῖε δὲ Τηλέμαχός τε καὶ Ἀτρεΐδης Μενέλαος,
wept and Telemachus both and son-of-Atreus Menelaus
οὐδ᾽ ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε·
nor then of-Nestor the-son tearless kept the-two-eyes
μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Ἀντιλόχοιο,
he-remembered for in heart blameless Antilochus
τόν ῥ᾽ Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός·
whom then of-Dawn slew bright the-glorious son
τοῦ ὅ γ᾽ ἐπιμνησθεὶς ἔπεα πτερόεντ᾽ ἀγόρευεν·
of-him he indeed remembering words winged spoke
“ Ἀτρεΐδη, περὶ μέν σε βροτῶν πεπνυμένον εἶναι
Son-of-Atreus beyond indeed you of-mortals prudent to-be
Νέστωρ φάσχ᾽ ὁ γέρων, ὅτ᾽ ἐπιμνησαίμεθα σεῖο
Nestor said the old-man whenever we-made-mention of-you
οἷσιν ἐνὶ μεγάροισι, καὶ ἀλλήλους ἐρέοιμεν.
his in halls and each-other we-would-question
καὶ νῦν, εἴ τί που ἔστι, πίθοιό μοι· οὐ γὰρ ἐγώ γε
and now if anything somehow is-possible may-you-obey me not for I indeed
τέρπομ᾽ ὀδυρόμενος μεταδόρπιος, ἀλλὰ καὶ ἠὼς
delight weeping after-supper but also dawn
ἔσσεται ἠριγένεια· νεμεσσῶμαί γε μὲν οὐδὲν
will-be early-born I-am-indignant indeed indeed at-nothing
κλαίειν ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ.
to-weep for-whoever — dies of-mortals and fate meets
τοῦτό νυ καὶ γέρας οἷον ὀιζυροῖσι βροτοῖσιν,
this now also the-honor only for-wretched mortals

κείρασθαί τε κόμην βαλέειν τ᾽ ἀπὸ δάκρυ παρειῶν.
to-cut both the-hair to-let-fall and from tear cheeks
καὶ γὰρ ἐμὸς τέθνηκεν ἀδελφεός, οὔ τι κάκιστος
also for my has-died brother not at-all basest
Ἀργείων· μέλλεις δὲ σὺ ἴδμεναι· οὐ γὰρ ἐγώ γε
of-the-Argives you-must and you to-know not for I indeed
ἤντησ᾽ οὐδὲ ἴδον· περὶ δ᾽ ἄλλων φασὶ γενέσθαι
met(-him) nor saw(-him) beyond and others they-say to-have-been
Ἀντίλοχον, πέρι μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.᾽᾽
Antilochus beyond indeed to-run swift and a-warrior
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
Him and answering addressed fair-haired Menelaus
᾽᾽ Ὦ φίλ᾽, ἐπεὶ τόσα εἶπες, ὅσ᾽ ἂν πεπνυμένος ἀνὴρ
O friend since so-much you-have-said as-much-as — a-prudent man
εἴποι καὶ ῥέξειε, καὶ ὃς προγενέστερος εἴη·
might-say and might-do even who older might-be
τοίου γὰρ καὶ πατρός, ὃ καὶ πεπνυμένα βάζεις,
of-such for even a-father whence also prudent-things you-speak
ῥεῖα δ᾽ ἀρίγνωτος γόνος ἀνέρος ᾧ τε Κρονίων
easily and recognized the-offspring of-a-man for-whom — the-son-of-Cronus
ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε,
happiness spins marrying both being-born and
ὡς νῦν Νέστορι δῶκε διαμπερὲς ἤματα πάντα
as now to-Nestor he-gave continually days all
αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
himself indeed in-comfort to-grow-old in the-halls
υἱέας αὖ πινυτούς τε καὶ ἔγχεσιν εἶναι ἀρίστους.
sons in-turn wise both and with-spears to-be best
ἡμεῖς δὲ κλαυθμὸν μὲν ἐάσομεν, ὃς πρὶν ἐτύχθη,
we and the-weeping indeed let-us-leave which before happened

δόρπου δ' ἐξαῦτις μνησώμεθα, χερσὶ δ' ἐφ' ὕδωρ
of-supper and anew let-us-think on-hands and on water
χευάντων. μῦθοι δὲ καὶ ἠῶθέν περ ἔσονται
let-them-pour speeches and also at-dawn indeed will-be
Τηλεμάχῳ καὶ ἐμοὶ διαειπέμεν ἀλλήλοισιν."
for-Telemachus and me to-talk-through with-each-other
Ὣς ἔφατ', Ἀσφαλίων δ' ἄρ' ὕδωρ ἐπὶ χεῖρας ἔχευεν,
So he-spoke Asphalion and then water over hands poured
ὀτρηρὸς θεράπων Μενελάου κυδαλίμοιο.
busy attendant of-Menelaus glorious
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth

IV.3 · HELEN'S DRUG AND THE WOODEN HORSE

Helen puts into the wine an Egyptian drug that banishes grief. She tells how Odysseus, disfigured with blows and dressed as a beggar, slipped into Troy, was recognized by her alone, and killed many Trojans before returning; by then she longed for home. Menelaus tells how Helen, followed by Deiphobus, circled the wooden horse imitating the Greek wives' voices, and Odysseus held the men back. Telemachus says none of this saved his father and asks to sleep.

Ἔνθ' αὖτ' ἄλλ' ἐνόησ' Ἑλένη Διὸς ἐκγεγαυῖα·
Then in-turn another-thing thought Helen of-Zeus sprung
αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
at-once then into the-wine she-cast a-drug from-which they-were-drinking
νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.
banishing-grief both banishing-anger and of-ills causing-forgetfulness of-all
ὃς τὸ καταβρόξειεν, ἐπὴν κρητῆρι μιγείη,
who it should-swallow when in-the-mixing-bowl it-was-mixed

οὔ κεν ἐφημέριός γε βάλοι κατὰ δάκρυ παρειῶν,
not — for-the-day indeed he-would-let-fall down tear from-cheeks
οὐδ' εἴ οἱ κατατεθναίη μήτηρ τε πατήρ τε,
not-even if his should-lie-dead mother both father and
οὐδ' εἴ οἱ προπάροιθεν ἀδελφεὸν ἢ φίλον υἱὸν
not-even if his before-him brother or dear son
χαλκῷ δηιόῳεν, ὁ δ' ὀφθαλμοῖσιν ὁρῷτο.
with-bronze they-should-slay he and with-eyes should-see(-it)
τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
such of-Zeus the-daughter had drugs cunning
ἐσθλά, τά οἱ Πολύδαμνα πόρεν, Θῶνος παράκοιτις
good which to-her Polydamna gave of-Thon the-wife
Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
Egyptian where most bears grain-giving earth
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα πολλὰ δὲ λυγρά·
drugs many indeed good mixed many and baneful
ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων
physician and each skilled beyond all
ἀνθρώπων· ἦ γὰρ Παιήονός εἰσι γενέθλης.
men truly for of-Paeëon they-are of-the-race
αὐτὰρ ἐπεί ῥ' ἐνέηκε κέλευσέ τε οἰνοχοῆσαι,
but when then she-had-put(-it)-in bade and to-pour-wine
ἐξαῦτις μύθοισιν ἀμειβομένη προσέειπεν·
again with-speeches answering she-addressed(-them)
" Ἀτρεΐδη Μενέλαε διοτρεφὲς ἠδὲ καὶ οἵδε
Son-of-Atreus Menelaus Zeus-nurtured and also these
ἀνδρῶν ἐσθλῶν παῖδες· ἀτὰρ θεὸς ἄλλοτε ἄλλῳ
of-men noble children but the-god at-one-time to-another
Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα·
Zeus good both evil and gives is-able for all

ἦ τοι νῦν δαίνυσθε καθήμενοι ἐν μεγάροισι
truly indeed now feast sitting in the-halls
καὶ μύθοις τέρπεσθε· ἐοικότα γὰρ καταλέξω.
and in-tales delight fitting-things for I-will-recount
πάντα μὲν οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
all indeed not — I will-tell nor name
ὅσσοι Ὀδυσσῆος ταλασίφρονός εἰσιν ἄεθλοι·
as-many-as of-Odysseus steadfast are toils
ἀλλ' οἷον τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
but such-a-thing this he-did and endured strong man
δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί.
the-land in of-the-Trojans where you-suffered sorrows Achaeans
αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
himself him with-blows unseemly having-subdued
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών, οἰκῆι ἐοικώς,
a-rag bad round shoulders throwing to-a-servant like
ἀνδρῶν δυσμενέων κατέδυ πόλιν εὐρυάγυιαν·
of-men hostile he-slipped-into the-city wide-streeted
ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων ἤισκε,
to-another and himself a-man concealing he-likened
δέκτῃ, ὃς οὐδὲν τοῖος ἔην ἐπὶ νηυσὶν Ἀχαιῶν.
a-beggar who in-no-way such was by the-ships of-the-Achaeans
τῷ ἴκελος κατέδυ Τρώων πόλιν, οἱ δ' ἀβάκησαν
to-him like he-slipped-into of-the-Trojans the-city they and were-unaware
πάντες· ἐγὼ δέ μιν οἴη ἀνέγνων τοῖον ἐόντα,
all I and him alone recognized such being
καί μιν ἀνηρώτων· ὁ δὲ κερδοσύνῃ ἀλέεινεν.
and him I-questioned he and with-cunning avoided(-me)
ἀλλ' ὅτε δή μιν ἐγὼ λόεον καὶ χρῖον ἐλαίῳ,
but when indeed him I was-bathing and anointing with-oil

ἀμφὶ δὲ εἵματα ἕσσα καὶ ὤμοσα καρτερὸν ὅρκον
around and clothes I-put and swore a-strong oath
μὴ μὲν πρὶν Ὀδυσῆα μετὰ Τρώεσσ' ἀναφῆναι,
not indeed before Odysseus among the-Trojans to-reveal
πρίν γε τὸν ἐς νῆάς τε θοὰς κλισίας τ' ἀφικέσθαι,
before indeed he to the-ships both swift huts and to-reach
καὶ τότε δή μοι πάντα νόον κατέλεξεν Ἀχαιῶν.
and then indeed to-me all the-mind he-recounted of-the-Achaeans
πολλοὺς δὲ Τρώων κτείνας ταναήκεϊ χαλκῷ
many and of-the-Trojans having-killed with-long-edged bronze
ἦλθε μετ' Ἀργείους, κατὰ δὲ φρόνιν ἤγαγε πολλήν.
he-came to the-Argives down and information brought much
ἔνθ' ἄλλαι Τρωαὶ λίγ' ἐκώκυον· αὐτὰρ ἐμὸν κῆρ
then the-other Trojan-women shrilly wailed but my heart
χαῖρ', ἐπεὶ ἤδη μοι κραδίη τέτραπτο νέεσθαι
rejoiced since already my heart was-turned to-go
ἂψ οἰκόνδ', ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη
back homeward the-folly and I-lamented which Aphrodite
δῶχ', ὅτε μ' ἤγαγε κεῖσε φίλης ἀπὸ πατρίδος αἴης,
gave when me she-led thither dear from native land
παῖδά τ' ἐμὴν νοσφισσαμένην θάλαμόν τε πόσιν τε
child and my forsaking chamber both husband and
οὔ τευ δευόμενον, οὔτ' ἂρ φρένας οὔτε τι εἶδος."
not in-anything lacking neither then in-wits nor at-all in-form
Τὴν δ' ἀπαμειβόμενος προσέφη ξανθὸς Μενέλαος·
Her and answering addressed fair-haired Menelaus
"Ναὶ δὴ ταῦτά γε πάντα, γύναι, κατὰ μοῖραν ἔειπες.
Yes indeed these-things indeed all wife according-to due you-spoke

ἤδη μὲν πολέων ἐδάην βουλήν τε νόον τε
already indeed of-many I-have-learned counsel both mind and
ἀνδρῶν ἡρώων, πολλὴν δ' ἐπελήλυθα γαῖαν·
of-men heroes much and I-have-traveled-over land
ἀλλ' οὔ πω τοιοῦτον ἐγὼν ἴδον ὀφθαλμοῖσιν,
but not yet such I saw with-eyes
οἷον Ὀδυσσῆος ταλασίφρονος ἔσκε φίλον κῆρ.
as of-Odysseus steadfast was dear heart
οἷον καὶ τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ
such-a-thing also this he-did and endured strong man
ἵππῳ ἔνι ξεστῷ, ἵν' ἐνήμεθα πάντες ἄριστοι
horse in polished where we-sat all the-best
Ἀργείων Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
of-the-Argives for-the-Trojans slaughter and doom bringing
ἦλθες ἔπειτα σὺ κεῖσε· κελευσέμεναι δέ σ' ἔμελλε
you-came then you thither to-bid and you was-about
δαίμων, ὃς Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι·
a-god who to-the-Trojans wished glory to-extend
καί τοι Δηίφοβος θεοείκελος ἕσπετ' ἰούσῃ.
and you-know Deiphobus godlike followed you-going
τρὶς δὲ περίστειξας κοῖλον λόχον ἀμφαφόωσα,
thrice and having-walked-around the-hollow ambush feeling(-it)
ἐκ δ' ὀνομακλήδην Δαναῶν ὀνόμαζες ἀρίστους,
out and by-name of-the-Danaans you-named the-best
πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν.
of-all Argives the-voice likening to-the-wives
αὐτὰρ ἐγὼ καὶ Τυδεΐδης καὶ δῖος Ὀδυσσεὺς
but I and son-of-Tydeus and noble Odysseus
ἥμενοι ἐν μέσσοισιν ἀκούσαμεν ὡς ἐβόησας.
sitting in the-middle heard how you-called

νῶι μὲν ἀμφοτέρω μενεήναμεν ὁρμηθέντε
we-two indeed both were-eager starting-up
ἢ ἐξελθέμεναι, ἢ ἔνδοθεν αἶψ' ὑπακοῦσαι·
either to-go-out or from-within at-once to-answer
ἀλλ' Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένω περ.
but Odysseus held(-us)-back and restrained eager though
ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
there others indeed all silent were sons of-the-Achaeans
Ἄντικλος δὲ σέ γ' οἷος ἀμείψασθαι ἐπέεσσιν
Anticlus and you indeed alone to-answer with-words
ἤθελεν. ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζεν
wished but Odysseus on mouth with-hands pressed
νωλεμέως κρατερῇσι, σάωσε δὲ πάντας Ἀχαιούς·
unceasingly strong saved and all Achaeans
τόφρα δ' ἔχ', ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη."
so-long and he-held until you away led Pallas Athena
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
" Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
Son-of-Atreus Menelaus Zeus-nurtured leader of-the-people
ἄλγιον· οὐ γάρ οἵ τι τάδ' ἤρκεσε λυγρὸν ὄλεθρον,
more-grievous not for for-him at-all these-things warded-off woeful destruction
οὐδ' εἴ οἱ κραδίη γε σιδηρέη ἔνδοθεν ἦεν.
not-even if his heart indeed iron within was
ἀλλ' ἄγετ' εἰς εὐνὴν τράπεθ' ἡμέας, ὄφρα καὶ ἤδη
but come to bed send us so-that even now
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες."
sleep under sweet we-may-enjoy having-gone-to-rest

Beds are laid in the portico, and Menelaus sleeps beside Helen. At dawn he asks Telemachus why he has come, and Telemachus describes the suitors and begs for news of his father. Menelaus, angered, compares the suitors to fawns laid in a lion's lair, wishes Odysseus would come among them as he once wrestled Philomeleides in Lesbos, and promises to tell all that the old man of the sea told him.

Ὣς ἔφατ', Ἀργείη δ' Ἑλένη δμῳῇσι κέλευσεν
So she-spoke Argive and Helen the-maidservants bade
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ
bedsteads under the-portico to-place and blankets fair
πορφύρε' ἐμβαλέειν στορέσαι τ' ἐφύπερθε τάπητας,
purple to-throw-on to-spread and above rugs
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἔσασθαι.
cloaks and to-put-in woolly above to-wear
αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,
they and went from the-hall a-torch in hands holding
δέμνια δὲ στόρεσαν· ἐκ δὲ ξείνους ἄγε κῆρυξ.
the-bedsteads and spread forth and the-strangers led the-herald
οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,
they indeed then in the-forecourt of-the-house there slept
Τηλέμαχός θ' ἥρως καὶ Νέστορος ἀγλαὸς υἱός·
Telemachus and the-hero and of-Nestor glorious son
Ἀτρεΐδης δὲ καθεῦδε μυχῷ δόμου ὑψηλοῖο,
the-son-of-Atreus and slept in-the-inmost-part of-the-house lofty
πὰρ δ' Ἑλένη τανύπεπλος ἐλέξατο, δῖα γυναικῶν.
beside and Helen long-robed lay bright among-women

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
ὥρνυτ' ἄρ' ἐξ εὐνῆφι βοὴν ἀγαθὸς Μενέλαος
rose then from bed at-the-war-cry good Menelaus
εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
clothes having-put-on around and sword sharp he-put on-shoulder
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
feet and under glistening he-bound fair sandals
βῆ δ' ἴμεν ἐκ θαλάμοιο θεῷ ἐναλίγκιος ἄντην,
went and to-go out-of the-chamber to-a-god like to-look-on
Τηλεμάχῳ δὲ παρῖζεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
by-Telemachus and he-sat word and spoke out and named(-him)
"Τίπτε δέ σε χρειὼ δεῦρ' ἤγαγε, Τηλέμαχ' ἥρως,
Why and you need hither has-brought Telemachus hero
ἐς Λακεδαίμονα δῖαν, ἐπ' εὐρέα νῶτα θαλάσσης;
to Lacedaemon bright over broad back of-the-sea
δήμιον ἦ ἴδιον; τόδε μοι νημερτὲς ἐνίσπες."
public or private this to-me truly tell
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
" Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
Son-of-Atreus Menelaus Zeus-nurtured leader of-the-people
ἤλυθον, εἴ τινά μοι κληηδόνα πατρὸς ἐνίσποις.
I-came if any to-me tidings of-father you-might-tell
ἐσθίεταί μοι οἶκος, ὄλωλε δὲ πίονα ἔργα,
is-devoured my house has-perished and the-rich works
δυσμενέων δ' ἀνδρῶν πλεῖος δόμος, οἵ τέ μοι αἰεὶ
of-hostile and men full the-house who — my always
μῆλ' ἀδινὰ σφάζουσι καὶ εἰλίποδας ἕλικας βοῦς,
sheep thronging slaughter and shambling crooked-horned cattle

μητρὸς ἐμῆς μνηστῆρες ὑπέρβιον ὕβριν ἔχοντες.
of-mother my suitors overweening insolence having
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
therefore now those your knees I-come-to if — you-are-willing
κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
his woeful destruction to-tell if somewhere you-have-seen(-it)
ὀφθαλμοῖσι τεοῖσιν ἢ ἄλλου μῦθον ἄκουσας
with-eyes your or of-another the-word heard
πλαζομένου· περὶ γάρ μιν ὀιζυρὸν τέκε μήτηρ.
wandering beyond(-all) for him wretched bore the-mother
μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
nor at-all me respecting soften nor pitying
ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς.
but well to-me recount how you-came-upon the-sight
λίσσομαι, εἴ ποτέ τοί τι πατὴρ ἐμός, ἐσθλὸς Ὀδυσσεὺς
I-beseech if ever to-you at-all father my noble Odysseus
ἢ ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσε
either word or any deed having-promised fulfilled
δήμῳ ἔνι Τρώων, ὅθι πάσχετε πήματ' Ἀχαιοί,
the-land in of-the-Trojans where you-suffered sorrows Achaeans
τῶν νῦν μοι μνῆσαι, καί μοι νημερτὲς ἐνίσπες."
of-these-things now for-me remember and to-me truly tell

Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Him and greatly vexed addressed fair-haired Menelaus
" Ὤ πόποι, ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
Oh for-shame truly very indeed of-a-strong-hearted man in the-bed
ἤθελον εὐνηθῆναι ἀνάλκιδες αὐτοὶ ἐόντες.
wished to-lie unwarlike themselves being

ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
as and when in a-thicket a-doe of-strong lion
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνοὺς
fawns having-laid-to-sleep new-born sucking
κνημοὺς ἐξερέῃσι καὶ ἄγκεα ποιήεντα
the-spurs searches and glens grassy
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν,
feeding he and then his-own came-into lair
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν,
on-both and them unseemly doom let-loose
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
so Odysseus on-them unseemly doom will-let-loose
αἰ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
if-only for Zeus both father and Athena and Apollo
τοῖος ἐών, οἷός ποτ' ἐυκτιμένῃ ἐνὶ Λέσβῳ
such being as once well-built in Lesbos
ἐξ ἔριδος Φιλομηλεΐδῃ ἐπάλαισεν ἀναστάς,
in contest with-Philomeleides wrestled standing-up
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
down and threw(-him) mightily rejoiced and all the-Achaeans
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
such being among-the-suitors might-mingle Odysseus
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
all — swift-fated both would-be bitter-wedded and
ταῦτα δ' ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἐγώ γε
these-things but which me you-ask and beseech not — I indeed
ἄλλα παρὲξ εἴποιμι παρακλιδόν, οὐδ' ἀπατήσω,
other-things beside would-say turning-aside nor will-deceive

ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτής,
but these-things indeed to-me told the-old-man of-the-sea unerring
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος οὐδ' ἐπικεύσω.
of-these nothing to-you I will-hide word nor will-conceal

IV.5 · EIDOTHEA

Becalmed on the island of Pharos for twenty days, Menelaus met Eidothea, the daughter of Proteus, the old man of the sea. She told him that Proteus could reveal which god held him back and how to return home. He must ambush Proteus at noon among his seals, hold him fast through all his changes, and ask his questions when he resumed his own shape. At dawn Menelaus took three trusted comrades to the shore.

"Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
In-Egypt me still hither the-gods eager to-return
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τελήεσσας ἑκατόμβας.
held since not to-them I-offered perfect hecatombs
οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
they and always wished the-gods to-be-mindful of-(their)-commands
νῆσος ἔπειτά τις ἔστι πολυκλύστῳ ἐνὶ πόντῳ
an-island then a-certain is much-dashing in sea
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσι,
of-Egypt in-front Pharos and it they-call
τόσσον ἄνευθ' ὅσσον τε πανημερίη γλαφυρὴ νηῦς
so-far off as-far-as — all-day a-hollow ship
ἤνυσεν, ᾗ λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν·
completes to-which a-shrill fair-wind blows from-behind

ἐν δὲ λιμὴν ἐύορμος, ὅθεν τ' ἀπὸ νῆας ἐίσας
in and a-harbor good-for-anchoring whence — out ships balanced
ἐς πόντον βάλλουσιν, ἀφυσσάμενοι μέλαν ὕδωρ.
into the-sea they-launch having-drawn black water
ἔνθα μ' ἐείκοσιν ἤματ' ἔχον θεοί, οὐδέ ποτ' οὖροι
there me twenty days held the-gods nor ever winds
πνείοντες φαίνονθ' ἁλιαέες, οἵ ῥά τε νηῶν
blowing appeared seaward which then — of-ships
πομπῆες γίγνονται ἐπ' εὐρέα νῶτα θαλάσσης.
escorts become over broad back of-the-sea
καί νύ κεν ἤια πάντα κατέφθιτο καὶ μένε' ἀνδρῶν,
and now — the-provisions all would-have-been-spent and the-strength of-men
εἰ μή τίς με θεῶν ὀλοφύρατο καί μ' ἐσάωσε,
if not one me of-the-gods had-pitied and me saved
Πρωτέος ἰφθίμου θυγάτηρ ἁλίοιο γέροντος,
of-Proteus mighty daughter of-the-sea of-the-old-man
Εἰδοθέη· τῇ γάρ ῥα μάλιστά γε θυμὸν ὄρινα.
Eidothea her for then most indeed heart I-stirred
ἥ μ' οἴῳ ἔρροντι συνήντετο νόσφιν ἑταίρων·
who me alone wandering met apart-from comrades
αἰεὶ γὰρ περὶ νῆσον ἀλώμενοι ἰχθυάασκον
always for round the-island wandering they-fished
γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός.
with-bent hooks wore and the-belly hunger
ἡ δέ μευ ἄγχι στᾶσα ἔπος φάτο φώνησέν τε·
she and me near standing word spoke uttered and
"'Νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠδὲ χαλίφρων,
Foolish you-are O stranger too so-much and slack-witted
ἦε ἑκὼν μεθίεις καὶ τέρπεαι ἄλγεα πάσχων;
or willingly do-you-give-up and delight pains suffering

ὡς δὴ δήθ' ἐνὶ νήσῳ ἐρύκεαι, οὐδέ τι τέκμωρ
as indeed long in the-island you-are-held nor any sign
εὑρέμεναι δύνασαι, μινύθει δέ τοι ἦτορ ἑταίρων.'
to-find you-are-able wastes and your heart of-comrades
"Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So she-spoke but I her answering addressed
'Ἔκ μέν τοι ἐρέω, ἤ τις σύ πέρ ἐσσι θεάων,
Out indeed to-you I-will-speak who any you indeed are of-goddesses
ὡς ἐγὼ οὔ τι ἑκὼν κατερύκομαι, ἀλλά νυ μέλλω
that I not at-all willingly am-held-back but now I-must
ἀθανάτους ἀλιτέσθαι, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
the-immortals to-have-offended who heaven broad hold
ἀλλὰ σύ πέρ μοι εἰπέ, θεοὶ δέ τε πάντα ἴσασιν,
but you indeed to-me tell the-gods and — all-things know
ὅς τίς μ' ἀθανάτων πεδάᾳ καὶ ἔδησε κελεύθου,
who any me of-the-immortals fetters and bound from-the-path
νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.'
return and how over the-sea I-shall-go fish-filled
"Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
So I-spoke she and at-once answered bright of-goddesses
'Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you stranger very truly will-tell
πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς
frequents a-certain here old-man of-the-sea unerring
ἀθάνατος Πρωτεὺς Αἰγύπτιος, ὅς τε θαλάσσης
immortal Proteus Egyptian who — of-the-sea
πάσης βένθεα οἶδε, Ποσειδάωνος ὑποδμώς·
all the-depths knows of-Poseidon underling
τὸν δέ τ' ἐμόν φασιν πατέρ' ἔμμεναι ἠδὲ τεκέσθαι.
him and — my they-say father to-be and to-have-begotten(-me)

τόν γ' εἴ πως σὺ δύναιο λοχησάμενος λελαβέσθαι,
him indeed if somehow you could lying-in-ambush catch
ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου
who — to-you may-tell the-way and the-measures of-the-path
νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.
return and how over the-sea you-shall-go fish-filled
καὶ δέ κέ τοι εἴπῃσι, διοτρεφές, αἴ κ' ἐθέλῃσθα,
and also — to-you he-may-tell Zeus-nurtured if — you-wish
ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται
whatever to-you in halls evil both good and has-been-done
οἰχομένοιο σέθεν δολιχὴν ὁδὸν ἀργαλέην τε.'
gone of-you a-long journey grievous and
" Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So she-spoke but I her answering addressed
'Αὐτὴ νῦν φράζευ σὺ λόχον θείοιο γέροντος,
Yourself now devise you an-ambush of-the-godlike old-man
μή πώς με προϊδὼν ἠὲ προδαεὶς ἀλέηται·
lest somehow me foreseeing or learning-beforehand he-escape
ἀργαλέος γάρ τ' ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι.'
hard for — is a-god for-mortal man to-be-subdued
" Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
So I-spoke she and at-once answered bright of-goddesses
'Τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ' ἀτρεκέως ἀγορεύσω.
Therefore I to-you stranger very truly will-tell
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκῃ,
when and the-sun the-middle heaven has-bestridden
τῆμος ἄρ' ἐξ ἁλὸς εἶσι γέρων ἅλιος νημερτὴς
at-that-time then out-of the-sea comes the-old-man of-the-sea unerring
πνοιῇ ὕπο Ζεφύροιο μελαίνῃ φρικὶ καλυφθείς,
the-breath under of-Zephyr by-black ripple covered

ἐκ δ' ἐλθὼν κοιμᾶται ὑπὸ σπέσσι γλαφυροῖσιν·
out and coming he-sleeps under caves hollow
ἀμφὶ δέ μιν φῶκαι νέποδες καλῆς ἁλοσύδνης
around and him seals footless of-the-fair Halosydne
ἀθρόαι εὕδουσιν, πολιῆς ἁλὸς ἐξαναδῦσαι,
in-a-throng sleep the-gray sea having-come-up-from
πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.
bitter breathing-forth of-the-sea very-deep the-smell
ἔνθα σ' ἐγὼν ἀγαγοῦσα ἅμ' ἠοῖ φαινομένηφιν
there you I leading with dawn appearing
εὐνάσω ἑξείης· σὺ δ' ἐὺ κρίνασθαι ἑταίρους
will-lay in-a-row you and well choose comrades
τρεῖς, οἵ τοι παρὰ νηυσὶν ἐυσσέλμοισιν ἄριστοι.
three who for-you by ships well-decked best
πάντα δέ τοι ἐρέω ὀλοφώια τοῖο γέροντος.
all and to-you I-will-tell the-wiles of-that old-man
φώκας μέν τοι πρῶτον ἀριθμήσει καὶ ἔπεισιν·
the-seals indeed you-know first he-will-count and will-go-over
αὐτὰρ ἐπὴν πάσας πεμπάσσεται ἠδὲ ἴδηται,
but when all he-has-counted-by-fives and seen
λέξεται ἐν μέσσῃσι νομεὺς ὡς πώεσι μήλων.
he-will-lie-down in the-middle a-shepherd like among-flocks of-sheep
τὸν μὲν ἐπὴν δὴ πρῶτα κατευνηθέντα ἴδησθε,
him indeed when indeed first lying-down you-see
καὶ τότ' ἔπειθ' ὑμῖν μελέτω κάρτος τε βίη τε,
and then then to-you let-it-be-of-concern strength both force and
αὖθι δ' ἔχειν μεμαῶτα καὶ ἐσσύμενόν περ ἀλύξαι.
there and to-hold(-him) eager and striving though to-escape

πάντα δὲ γιγνόμενος πειρήσεται, ὅσσ' ἐπὶ γαῖαν
all-things and becoming he-will-try as-many-as on earth
ἕρπετὰ γίγνονται, καὶ ὕδωρ καὶ θεσπιδαὲς πῦρ·
creeping-things become and water and wondrous fire
ὑμεῖς δ' ἀστεμφέως ἐχέμεν μᾶλλόν τε πιέζειν.
you and unflinchingly to-hold more and to-press
ἀλλ' ὅτε κεν δή σ' αὐτὸς ἀνείρηται ἐπέεσσι,
but when — indeed you himself asks with-words
τοῖος ἐὼν οἷόν κε κατευνηθέντα ἴδησθε,
such being as — lying-down you-see(-him)
καὶ τότε δὴ σχέσθαι τε βίης λῦσαί τε γέροντα,
and then indeed to-hold-off both from-force to-release and the-old-man
ἥρως, εἴρεσθαι δέ, θεῶν ὅς τίς σε χαλέπτει,
hero to-ask and of-the-gods who any you oppresses
νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.'
return and how over the-sea you-shall-go fish-filled
" Ὣς εἰποῦσ' ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
So having-spoken under the-sea she-plunged billowing
αὐτὰρ ἐγὼν ἐπὶ νῆας, ὅθ' ἕστασαν ἐν ψαμάθοισιν,
but I to the-ships where they-stood in the-sands
ἤια· πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
went much and for-me the-heart was-troubled going
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
but when then to the-ship I-had-come-down and the-sea
δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ·
supper and we-prepared on and came immortal night
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
indeed then we-slept on the-breakers of-the-sea
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
when and early-born appeared rosy-fingered Dawn

καὶ τότε δὴ παρὰ θῖνα θαλάσσης εὐρυπόροιο
and then indeed along the-shore of-the-sea wide-wayed
ἤια πολλὰ θεοὺς γουνούμενος· αὐτὰρ ἑταίρους
I-went much the-gods imploring but comrades
τρεῖς ἄγον, οἷσι μάλιστα πεποίθεα πᾶσαν ἐπ' ἰθύν.
three I-led in-whom most I-trusted every for venture

IV.6 · PROTEUS

Eidothea hid the men under fresh sealskins and gave them ambrosia against the stench. Proteus counted his seals, lay down, and was seized; he became a lion, a snake, a leopard, a boar, water, and a tree before yielding. He told Menelaus to go back to Egypt and offer hecatombs. Then he told how Ajax drowned for his boast against the gods, and how Aegisthus killed Agamemnon at a feast on his return.

435 "Τόφρα δ' ἄρ' ἥ γ' ὑποδῦσα θαλάσσης εὐρέα κόλπον
Meanwhile and then she indeed having-plunged-beneath of-the-sea the-broad bosom
τέσσαρα φωκάων ἐκ πόντου δέρματ' ἔνεικε·
four of-seals from the-sea skins brought
πάντα δ' ἔσαν νεόδαρτα· δόλον δ' ἐπεμήδετο πατρί.
all and were newly-flayed a-trick and she-devised-against (her)-father
εὐνὰς δ' ἐν ψαμάθοισι διαγλάψασ' ἁλίῃσιν
lairs and in the-sands having-scooped-out of-the-sea
ἧστο μένουσ'· ἡμεῖς δὲ μάλα σχεδὸν ἤλθομεν αὐτῆς·
she-sat waiting we and very near came her
440 ἑξείης δ' εὖνησε, βάλεν δ' ἐπὶ δέρμα ἑκάστῳ.
in-a-row and she-laid(-us) cast and on a-skin on-each
ἔνθα κεν αἰνότατος λόχος ἔπλετο· τεῖρε γὰρ αἰνῶς
there — most-dreadful the-ambush would-have-been wore(-us) for terribly
φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή·
of-seals sea-bred most-deadly the-smell

τίς γάρ κ' εἰναλίῳ παρὰ κήτεϊ κοιμηθείη;
who for — sea-dwelling beside a-monster would-lie-down
ἀλλ' αὐτὴ ἐσάωσε καὶ ἐφράσατο μέγ' ὄνειαρ·
but she-herself saved(-us) and devised great help
ἀμβροσίην ὑπὸ ῥῖνα ἑκάστῳ θῆκε φέρουσα
ambrosia under the-nose of-each she-placed bringing
ἡδὺ μάλα πνείουσαν, ὄλεσσε δὲ κήτεος ὀδμήν.
sweet very breathing she-destroyed and of-the-monster the-smell
πᾶσαν δ' ἠοίην μένομεν τετληότι θυμῷ·
all and the-morning we-waited with-enduring heart
φῶκαι δ' ἐξ ἁλὸς ἦλθον ἀολλέες. αἱ μὲν ἔπειτα
seals and out-of the-sea came in-a-body they indeed then
ἑξῆς εὐνάζοντο παρὰ ῥηγμῖνι θαλάσσης·
in-a-row lay-down by the-breakers of-the-sea
ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός, εὗρε δὲ φώκας
at-noon and the old-man came out-of the-sea found and the-seals
ζατρεφέας, πάσας δ' ἄρ' ἐπῴχετο, λέκτο δ' ἀριθμόν·
well-fed all and then he-went-over counted and the-number
ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν, οὐδέ τι θυμῷ
in and us first he-counted among-the-monsters nor at-all in-heart
ὠίσθη δόλον εἶναι· ἔπειτα δὲ λέκτο καὶ αὐτός.
he-thought a-trick to-be then and lay-down also himself
ἡμεῖς δὲ ἰάχοντες ἐπεσσύμεθ', ἀμφὶ δὲ χεῖρας
we and shouting rushed-on around and hands
βάλλομεν· οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης,
we-cast nor the old-man (his)-crafty forgot art
ἀλλ' ἦ τοι πρώτιστα λέων γένετ' ἠυγένειος,
but truly indeed first-of-all a-lion he-became bearded
αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις ἠδὲ μέγας σῦς·
but then a-serpent and a-leopard and great boar

γίγνετο δ᾽ ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον·
he-became and liquid water and a-tree high-leafed
ἡμεῖς δ᾽ ἀστεμφέως ἔχομεν τετληότι θυμῷ.
we and unflinchingly held with-enduring heart
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἀνίαζ᾽ ὁ γέρων ὀλοφώια εἰδώς,
but when indeed then was-wearied the old-man wiles knowing
καὶ τότε δή μ᾽ ἐπέεσσιν ἀνειρόμενος προσέειπε·
and then indeed me with-words questioning he-addressed
"“Τίς νύ τοι, Ἀτρέος υἱέ, θεῶν συμφράσσατο βουλάς,
Who now with-you of-Atreus son of-the-gods devised plans
ὄφρα μ᾽ ἔλοις ἀέκοντα λοχησάμενος; τέο σε χρή;᾽
so-that me you-might-take unwilling lying-in-ambush of-what you needs
"“ Ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
᾽Οἶσθα, γέρον, τί με ταῦτα παρατροπέων ἐρεείνεις;
You-know old-man why me these-things evading do-you-ask
ὡς δὴ δήθ᾽ ἐνὶ νήσῳ ἐρύκομαι, οὐδέ τι τέκμωρ
how indeed long in the-island I-am-held nor any sign
εὑρέμεναι δύναμαι, μινύθει δέ μοι ἔνδοθεν ἦτορ.
to-find I-am-able wastes and my within heart
ἀλλὰ σύ πέρ μοι εἰπέ, θεοὶ δέ τε πάντα ἴσασιν,
but you indeed to-me tell the-gods and — all-things know
ὅς τίς μ᾽ ἀθανάτων πεδάᾳ καὶ ἔδησε κελεύθου,
who any me of-the-immortals fetters and bound from-the-path
νόστον θ᾽, ὡς ἐπὶ πόντον ἐλεύσομαι ἰχθυόεντα.᾽
return and how over the-sea I-shall-go fish-filled

“ Ὣς ἐφάμην, ὁ δέ μ’ αὐτίκ’ ἀμειβόμενος προσέειπεν·
So I-spoke he and me at-once answering addressed
‘ Ἀλλὰ μάλ’ ὤφελλες Διί τ’ ἄλλοισίν τε θεοῖσι
But very you-ought to-Zeus both other and gods
ῥέξας ἱερὰ κάλ’ ἀναβαινέμεν, ὄφρα τάχιστα
having-offered sacrifices fair to-embark so-that most-quickly
σὴν ἐς πατρίδ’ ἵκοιο πλέων ἐπὶ οἴνοπα πόντον.
your to native-land you-might-reach sailing over wine-dark sea
οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ’ ἰδέειν καὶ ἱκέσθαι
not for for-you before fate friends both to-see and to-reach
οἶκον ἐυκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν,
house well-built and your to native land
πρίν γ’ ὅτ’ ἂν Αἰγύπτοιο, διιπετέος ποταμοῖο,
before indeed when — of-Egypt Zeus-fed of-the-river
αὖτις ὕδωρ ἔλθῃς ῥέξῃς θ’ ἱερὰς ἑκατόμβας
again the-water you-come offer and sacred hecatombs
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι·
to-immortal gods who heaven broad hold
καὶ τότε τοι δώσουσιν ὁδὸν θεοί, ἣν σὺ μενοινᾷς.’
and then to-you will-give the-way the-gods which you purpose
“ Ὣς ἔφατ’, αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
So he-spoke but my indeed was-broken dear heart
οὕνεκά μ’ αὖτις ἄνωγεν ἐπ’ ἠεροειδέα πόντον
because me again he-bade over misty sea
Αἴγυπτόνδ’ ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε.
to-Egypt to-go a-long journey grievous and
ἀλλὰ καὶ ὣς μύθοισιν ἀμειβόμενος προσέειπον·
but even so with-words answering I-addressed(-him)

“‘Ταῦτα μὲν οὕτω δὴ τελέω, γέρον, ὡς σὺ κελεύεις.
These-things indeed so indeed I-will-accomplish old-man as you bid
ἀλλ’ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
ἦ πάντες σὺν νηυσὶν ἀπήμονες ἦλθον Ἀχαιοί,
whether all with ships unharmed came the-Achaeans
οὓς Νέστωρ καὶ ἐγὼ λίπομεν Τροίηθεν ἰόντες,
whom Nestor and I left from-Troy coming
ἦέ τις ὤλετ’ ὀλέθρῳ ἀδευκέι ἦς ἐπὶ νηὸς
or any perished by-destruction bitter his-own on ship
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν.’
or of-friends in arms when war he-had-wound-up
“ Ὣς ἐφάμην, ὁ δέ μ’ αὐτίκ’ ἀμειβόμενος προσέειπεν·
So I-spoke he and me at-once answering addressed
‘Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τί σε χρὴ
Son-of-Atreus why me these-things do-you-ask nor at-all you it-befits
ἴδμεναι, οὐδὲ δαῆναι ἐμὸν νόον· οὐδέ σέ φημι
to-know nor to-learn my mind nor you I-say
δὴν ἄκλαυτον ἔσεσθαι, ἐπὴν ἐὺ πάντα πύθηαι.
long untearful to-be when well all you-learn
πολλοὶ μὲν γὰρ τῶν γε δάμεν, πολλοὶ δὲ λίποντο·
many indeed for of-them indeed were-subdued many and were-left
ἀρχοὶ δ’ αὖ δύο μοῦνοι Ἀχαιῶν χαλκοχιτώνων
leaders and in-turn two alone of-the-Achaeans bronze-coated
ἐν νόστῳ ἀπόλοντο· μάχῃ δέ τε καὶ σὺ παρῆσθα.
in the-return perished in-the-battle and — also you were-present
εἷς δ’ ἔτι που ζωὸς κατερύκεται εὐρέι πόντῳ.
one and still somewhere alive is-held-back on-the-wide sea

"'Αΐας μὲν μετὰ νηυσὶ δάμη δολιχηρέτμοισι.
Ajax indeed with ships was-subdued long-oared
Γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσεν
to-the-Gyrae him first Poseidon drove
πέτρῃσιν μεγάλῃσι καὶ ἐξεσάωσε θαλάσσης·
rocks great and saved(-him) from-the-sea
καί νύ κεν ἔκφυγε κῆρα καὶ ἐχθόμενός περ Ἀθήνῃ,
and now — he-would-have-escaped doom though hated indeed by-Athena
εἰ μὴ ὑπερφίαλον ἔπος ἔκβαλε καὶ μέγ' ἀάσθη·
if not overbearing word he-had-thrown-out and greatly was-blinded
φῇ ῥ' ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης.
he-said then against-the-will of-the-gods to-have-escaped the-great gulf of-the-sea
τοῦ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος·
him and Poseidon loudly heard speaking
αὐτίκ' ἔπειτα τρίαιναν ἑλὼν χερσὶ στιβαρῇσιν
at-once then the-trident having-taken in-hands stout
ἤλασε Γυραίην πέτρην, ἀπὸ δ' ἔσχισεν αὐτήν·
struck the-Gyraean rock off and split it
καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντῳ,
and the-one indeed there remained the-other and fragment fell into-the-sea
τῷ ῥ' Αΐας τὸ πρῶτον ἐφεζόμενος μέγ' ἀάσθη·
on-which then Ajax at-the first sitting greatly was-blinded
τὸν δ' ἐφόρει κατὰ πόντον ἀπείρονα κυμαίνοντα.
him and it-bore through the-sea boundless billowing
ὣς ὁ μὲν ἔνθ' ἀπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.
so he indeed there perished when he-had-drunk salt water
"'Σὸς δέ που ἔκφυγε κῆρας ἀδελφεὸς ἠδ' ὑπάλυξεν
Your and somewhere escaped dooms brother and avoided(-them)
ἐν νηυσὶ γλαφυρῇσι· σάωσε δὲ πότνια Ἥρη.
in ships hollow saved(-him) and queenly Hera

ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ἔμελλε Μαλειάων ὄρος αἰπὺ
but when indeed soon he-was-about of-Malea the-mountain steep
ἵξεσθαι, τότε δή μιν ἀναρπάξασα θύελλα
to-reach then indeed him snatching-up a-storm
πόντον ἐπ᾽ ἰχθυόεντα φέρεν βαρέα στενάχοντα,
the-sea over fish-filled bore heavily groaning
ἀγροῦ ἐπ᾽ ἐσχατιήν, ὅθι δώματα ναῖε Θυέστης
of-the-field to the-border where the-house dwelt-in Thyestes
τὸ πρίν, ἀτὰρ τότ᾽ ἔναιε Θυεστιάδης Αἴγισθος.
the before but then dwelt son-of-Thyestes Aegisthus
ἀλλ᾽ ὅτε δὴ καὶ κεῖθεν ἐφαίνετο νόστος ἀπήμων,
but when indeed also from-there appeared a-return unharmed
ἂψ δὲ θεοὶ οὖρον στρέψαν, καὶ οἴκαδ᾽ ἵκοντο,
back and the-gods the-wind turned and home they-came
ἦ τοι ὁ μὲν χαίρων ἐπεβήσετο πατρίδος αἴης
truly indeed he indeed rejoicing set-foot-on native land
καὶ κύνει ἁπτόμενος ἣν πατρίδα· πολλὰ δ᾽ ἀπ᾽ αὐτοῦ
and kissed touching his-own native-land many and from him
δάκρυα θερμὰ χέοντ᾽, ἐπεὶ ἀσπασίως ἴδε γαῖαν.
tears hot were-shed since gladly he-saw the-land
τὸν δ᾽ ἄρ᾽ ἀπὸ σκοπιῆς εἶδε σκοπός, ὅν ῥα καθεῖσεν
him and then from a-watch-place saw a-watchman whom then had-set
Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ᾽ ἔσχετο μισθὸν
Aegisthus wily leading(-him) under and he-promised a-wage
χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δ᾽ ὅ γ᾽ εἰς ἐνιαυτόν,
of-gold two talents he-watched and he indeed for a-year
μή ἑ λάθοι παριών, μνήσαιτο δὲ θούριδος ἀλκῆς.
lest him should-escape-notice passing should-remember and furious valor
βῆ δ᾽ ἴμεν ἀγγελέων πρὸς δώματα ποιμένι λαῶν.
went and to-go to-announce to the-house to-the-shepherd of-the-people

αὐτίκα δ' Αἴγισθος δολίην ἐφράσσατο τέχνην·
at-once and Aegisthus crafty devised art
κρινάμενος κατὰ δῆμον ἐείκοσι φῶτας ἀρίστους
having-chosen throughout the-land twenty men best
εἷσε λόχον, ἑτέρωθι δ' ἀνώγει δαῖτα πένεσθαι.
set an-ambush on-the-other-side and bade a-feast to-prepare
αὐτὰρ ὁ βῆ καλέων Ἀγαμέμνονα, ποιμένα λαῶν
but he went calling Agamemnon shepherd of-the-people
ἵπποισιν καὶ ὄχεσφιν, ἀεικέα μερμηρίζων.
with-horses and chariots unseemly-things pondering
τὸν δ' οὐκ εἰδότ' ὄλεθρον ἀνήγαγε καὶ κατέπεφνεν
him and not knowing destruction he-led-up and slew
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
having-feasted(-him) as one — kills an-ox at the-manger
οὐδέ τις Ἀτρεΐδεω ἑτάρων λίπεθ' οἵ οἱ ἕποντο,
nor any of-the-son-of-Atreus of-the-comrades was-left who him followed
οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισιν.'
nor any of-Aegisthus but they-were-killed in the-halls

Menelaus wept on the sand. Proteus told him that the third man, the son of Laertes, is held on an island by the nymph Calypso without ships or comrades, and that Menelaus himself will not die in Argos but be sent to the Elysian plain, because he is Zeus' son-in-law. Menelaus offered hecatombs in Egypt, heaped a barrow for Agamemnon, and sailed home. He invites Telemachus to stay and offers horses, which Telemachus declines, since Ithaca has no meadows; Menelaus promises him instead a silver mixing bowl made by Hephaestus.

" Ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ,
So he-spoke but my indeed was-broken dear heart
κλαῖον δ' ἐν ψαμάθοισι καθήμενος, οὐδέ νύ μοι κῆρ
I-wept and in the-sands sitting nor now my heart
ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
wished still to-live and to-see the-light of-the-sun
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τε κορέσθην,
but when weeping both rolling and I-was-sated
δὴ τότε με προσέειπε γέρων ἅλιος νημερτής·
indeed then me addressed the-old-man of-the-sea unerring
"'Μηκέτι, Ἀτρέος υἱέ, πολὺν χρόνον ἀσκελὲς οὕτω
No-longer of-Atreus son long time unceasingly thus
κλαῖ', ἐπεὶ οὐκ ἄνυσίν τινα δήομεν· ἀλλὰ τάχιστα
weep since not accomplishment any we-shall-find but most-quickly
πείρα ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.
try how — indeed your native land you-may-reach
ἢ γάρ μιν ζωόν γε κιχήσεαι, ἤ κεν Ὀρέστης
either for him alive indeed you-will-find or — Orestes
κτεῖνεν ὑποφθάμενος, σὺ δέ κεν τάφου ἀντιβολήσαις.'
killed(-him) anticipating(-you) you and — the-funeral may-come-upon

“ Ὣς ἔφατ’, αὐτὰρ ἐμοὶ κραδίη καὶ θυμὸς ἀγήνωρ
So he-spoke but my heart and spirit proud
αὖτις ἐνὶ στήθεσσι καὶ ἀχνυμένῳ περ ἰάνθη,
again in breast even grieving though was-warmed
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
and him having-spoken words winged I-addressed
“‘Τούτους μὲν δὴ οἶδα· σὺ δὲ τρίτον ἄνδρ’ ὀνόμαζε,
These indeed truly I-know you and the-third man name
ὅς τις ἔτι ζωὸς κατερύκεται εὐρέι πόντῳ
who any still alive is-held-back on-the-wide sea
ἠὲ θανών· ἐθέλω δὲ καὶ ἀχνύμενός περ ἀκοῦσαι.’
or dead I-wish and even grieving though to-hear
“ Ὣς ἐφάμην, ὁ δέ μ’ αὐτίκ’ ἀμειβόμενος προσέειπεν·
So I-spoke he and me at-once answering addressed
‘Υἱὸς Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκία ναίων·
The-son of-Laertes Ithaca in house dwelling
τὸν δ’ ἴδον ἐν νήσῳ θαλερὸν κατὰ δάκρυ χέοντα,
him and I-saw on an-island swelling down tear shedding
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
of-the-nymph in the-halls Calypso who him by-force
ἴσχει· ὁ δ’ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
holds he and not is-able his-own native land to-reach
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
not for to-him at-hand ships furnished-with-oars and comrades
οἵ κέν μιν πέμποιεν ἐπ’ εὐρέα νῶτα θαλάσσης.
who — him might-convey over broad back of-the-sea
σοὶ δ’ οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
for-you and not decreed is-it Zeus-nurtured O Menelaus
Ἄργει ἐν ἱπποβότῳ θανέειν καὶ πότμον ἐπισπεῖν,
Argos in horse-pasturing to-die and fate to-meet

ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
but you to Elysian plain and the-ends of-the-earth
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
the-immortals will-send where fair-haired Rhadamanthus
τῇ περ ῥηίστη βιοτὴ πέλει ἀνθρώποισιν·
there indeed easiest life is for-men
οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολὺς οὔτε ποτ' ὄμβρος,
no snow nor then storm great nor ever rain
ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
but always of-Zephyr shrilly blowing the-blasts
Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους·
Ocean sends-up to-refresh men
οὕνεκ' ἔχεις Ἑλένην καί σφιν γαμβρὸς Διός ἐσσι.'
because you-have Helen and to-them son-in-law of-Zeus you-are
" Ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
So having-spoken under the-sea he-plunged billowing
αὐτὰρ ἐγὼν ἐπὶ νῆας ἅμ' ἀντιθέοις ἑτάροισιν
but I to the-ships with godlike comrades
ἤια, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
went much and for-me the-heart was-troubled going
αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
but when then to the-ship we-had-come-down and the-sea
δόρπον θ' ὁπλισάμεσθ', ἐπί τ' ἤλυθεν ἀμβροσίη νύξ,
supper and we-prepared on and came immortal night
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
indeed then we-slept on the-breakers of-the-sea
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
when and early-born appeared rosy-fingered Dawn
νῆας μὲν πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
ships indeed first-of-all we-drew into the-sea bright

ἐν δ' ἱστοὺς τιθέμεσθα καὶ ἱστία νηυσὶν ἐίσῃς,
in and masts we-set and sails in-ships balanced
ἂν δὲ καὶ αὐτοὶ βάντες ἐπὶ κληῖσι καθῖζον·
up and also themselves going on benches sat
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
in-a-row and sitting the-gray sea smote with-oars
ἂψ δ' εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο
back and into of-Egypt Zeus-fed of-the-river
στῆσα νέας, καὶ ἔρεξα τελήεσσας ἑκατόμβας.
I-stayed the-ships and I-offered perfect hecatombs
αὐτὰρ ἐπεὶ κατέπαυσα θεῶν χόλον αἰὲν ἐόντων,
but when I-had-stopped of-the-gods the-anger always being
χεῦ' Ἀγαμέμνονι τύμβον, ἵν' ἄσβεστον κλέος εἴη.
I-heaped for-Agamemnon a-barrow so-that unquenchable fame might-be
ταῦτα τελευτήσας νεόμην, ἔδοσαν δέ μοι οὖρον
these-things having-accomplished I-returned gave and to-me a-fair-wind
ἀθάνατοι, τοί μ' ὦκα φίλην ἐς πατρίδ' ἔπεμψαν.
the-immortals who me quickly dear to native-land sent
ἀλλ' ἄγε νῦν ἐπίμεινον ἐνὶ μεγάροισιν ἐμοῖσιν,
but come now stay in halls my
ὄφρα κεν ἑνδεκάτη τε δυωδεκάτη τε γένηται·
until — eleventh both twelfth and comes
καὶ τότε σ' εὖ πέμψω, δώσω δέ τοι ἀγλαὰ δῶρα,
and then you well I-will-send I-will-give and to-you glorious gifts
τρεῖς ἵππους καὶ δίφρον ἐύξοον· αὐτὰρ ἔπειτα
three horses and chariot well-polished but then
δώσω καλὸν ἄλεισον, ἵνα σπένδῃσθα θεοῖσιν
I-will-give fair goblet so-that you-may-pour-libation to-the-gods
ἀθανάτοις ἐμέθεν μεμνημένος ἤματα πάντα."
immortal of-me remembering days all

Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Him and in-turn Telemachus prudent in-reply spoke
" Ἀτρεΐδη, μὴ δή με πολὺν χρόνον ἐνθάδ' ἔρυκε.
Son-of-Atreus not indeed me long time here hold-back
καὶ γάρ κ' εἰς ἐνιαυτὸν ἐγὼ παρὰ σοί γ' ἀνεχοίμην
even for — for a-year I beside you indeed would-endure
ἥμενος, οὐδέ κέ μ' οἶκου ἔλοι πόθος οὐδὲ τοκήων·
sitting nor — me of-home would-seize longing nor of-parents
αἰνῶς γὰρ μύθοισιν ἔπεσσί τε σοῖσιν ἀκούων
terribly for to-speeches words and your listening
τέρπομαι. ἀλλ' ἤδη μοι ἀνιάζουσιν ἑταῖροι
I-delight but already for-me are-vexed comrades
ἐν Πύλῳ ἠγαθέῃ· σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις.
in Pylos sacred you and me long here hold-back
δῶρον δ' ὅττι κέ μοι δοίης, κειμήλιον ἔστω·
gift and whatever — to-me you-may-give a-treasure let-it-be
ἵππους δ' εἰς Ἰθάκην οὐκ ἄξομαι, ἀλλὰ σοὶ αὐτῷ
horses and to Ithaca not I-will-take but for-you yourself
ἐνθάδε λείψω ἄγαλμα· σὺ γὰρ πεδίοιο ἀνάσσεις
here I-will-leave as-an-ornament you for over-a-plain rule
εὐρέος, ᾧ ἔνι μὲν λωτὸς πολύς, ἐν δὲ κύπειρον
broad which in indeed lotus much in and galingale
πυροί τε ζειαί τε ἰδ' εὐρυφυὲς κρῖ λευκόν.
wheat both spelt and and broad-grown barley white
ἐν δ' Ἰθάκῃ οὔτ' ἂρ δρόμοι εὐρέες οὔτε τι λειμών·
in and Ithaca neither then runs broad nor any meadow
αἰγίβοτος, καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο.
goat-pasturing and more lovely than-horse-pasturing

οὐ γάρ τις νήσων ἱππήλατος οὐδ' ἐυλείμων,
not for any of-the-islands for-driving-horses nor well-meadowed
αἵ θ' ἁλὶ κεκλίαται· Ἰθάκη δέ τε καὶ περὶ πασέων."
which — on-the-sea lean Ithaca and — even beyond all
Ὣς φάτο, μείδησεν δὲ βοὴν ἀγαθὸς Μενέλαος,
So he-spoke smiled and at-the-war-cry good Menelaus
χειρί τέ μιν κατέρεξεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
with-hand and him stroked word and spoke out and named(-him)
"Αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος, οἷ' ἀγορεύεις·
Of-blood you-are of-good dear child such-things you-speak
τοιγὰρ ἐγώ τοι ταῦτα μεταστήσω· δύναμαι γάρ.
therefore I to-you these-things will-change I-am-able for
δώρων δ' ὅσσ' ἐν ἐμῷ οἴκῳ κειμήλια κεῖται,
of-gifts and as-many-as in my house treasures lie
δώσω ὃ κάλλιστον καὶ τιμηέστατόν ἐστιν·
I-will-give which most-beautiful and most-precious is
δώσω τοι κρητῆρα τετυγμένον· ἀργύρεος δὲ
I-will-give to-you a-mixing-bowl wrought silver and
ἔστιν ἅπας, χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται,
it-is all with-gold and on rims finished
ἔργον δ' Ἡφαίστοιο. πόρεν δέ έ Φαίδιμος ἥρως,
the-work and of-Hephaestus gave and it Phaedimus the-hero
Σιδονίων βασιλεύς, ὅθ' ἑὸς δόμος ἀμφεκάλυψε
of-the-Sidonians king when his house sheltered
κεῖσέ με νοστήσαντα· τεῖν δ' ἐθέλω τόδ' ὀπάσσαι."
there me returning to-you and I-wish this to-give

In Ithaca Noemon asks Antinous when Telemachus will return his ship, and the suitors learn with dismay that he has sailed. Antinous plans to ambush him in the strait between Ithaca and Samos. The herald Medon overhears and tells Penelope, who rebukes the suitors and then collapses on learning that her son has gone.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
So they indeed such-things to each-other spoke
δαιτυμόνες δ' ἐς δώματ' ἴσαν θείου βασιλῆος.
banqueters and to the-house came of-the-godlike king
οἱ δ' ἦγον μὲν μῆλα, φέρον δ' ἐυήνορα οἶνον·
they and drove indeed sheep brought and manly wine
σῖτον δέ σφ' ἄλοχοι καλλικρήδεμνοι ἔπεμπον.
bread and to-them the-wives fair-veiled sent
ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο.
so they indeed about dinner in the-halls were-busy
Μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
The-suitors and before of-Odysseus the-hall
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες
with-discs were-delighting and with-javelins throwing
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος, ὕβριν ἔχοντες.
on leveled floor where indeed before insolence having
Ἀντίνοος δὲ καθῆστο καὶ Εὐρύμαχος θεοειδής,
Antinous and sat and Eurymachus godlike
ἀρχοὶ μνηστήρων, ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
leaders of-the-suitors in-excellence and were by-far best
τοῖς δ' υἱὸς Φρονίοιο Νοήμων ἐγγύθεν ἐλθὼν
to-them and the-son of-Phronius Noemon near coming
Ἀντίνοον μύθοισιν ἀνειρόμενος προσέειπεν·
Antinous with-words questioning addressed

"Ἀντίνο', ἦ ῥά τι ἴδμεν ἐνὶ φρεσίν, ἦε καὶ οὐκί,
Antinous truly then at-all do-we-know in minds or also not
ὁππότε Τηλέμαχος νεῖτ' ἐκ Πύλου ἠμαθόεντος;
when Telemachus returns from Pylos sandy
νηΐ μοι οἴχετ' ἄγων· ἐμὲ δὲ χρεὼ γίγνεται αὐτῆς
a-ship of-mine he-is-gone taking me and need comes of-it
Ἤλιδ' ἐς εὐρύχορον διαβήμεναι, ἔνθα μοι ἵπποι
Elis to spacious to-cross where for-me horses
δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοὶ
twelve mares under and mules hard-working
ἀδμῆτες· τῶν κέν τιν' ἐλασσάμενος δαμασαίμην."
unbroken of-them — one driving-off I-might-break-in
Ὣς ἔφαθ', οἱ δ' ἀνὰ θυμὸν ἐθάμβεον· οὐ γὰρ ἔφαντο
So he-spoke they and in heart marveled not for they-thought
ἐς Πύλον οἴχεσθαι Νηλήιον, ἀλλά που αὐτοῦ
to Pylos to-have-gone of-Neleus but somewhere there
ἀγρῶν ἢ μήλοισι παρέμμεναι ἠὲ συβώτῃ.
in-the-fields either with-the-flocks to-be or with-the-swineherd
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη Εὐπείθεος υἱός·
Him and in-turn Antinous addressed of-Eupeithes son
"Νημερτές μοι ἔνισπε, πότ' ᾤχετο καὶ τίνες αὐτῷ
Truly to-me tell when did-he-go and what him
κοῦροι ἕποντ'; Ἰθάκης ἐξαίρετοι, ἦ ἑοὶ αὐτοῦ
young-men followed of-Ithaca chosen or his-own of-himself
θῆτές τε δμῶές τε; δύναιτό κε καὶ τὸ τελέσσαι.
hirelings both servants and could — also this to-accomplish
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' ἐὺ εἰδῶ,
and to-me this tell truly so-that well I-may-know

ἤ σε βίῃ ἀέκοντος ἀπηύρα νῆα μέλαιναν,
whether you by-force unwilling he-took-from the-ship black
ἦε ἑκὼν οἱ δῶκας, ἐπεὶ προσπτύξατο μύθῳ."
or willingly to-him you-gave since he-greeted(-you) with-speech
Τὸν δ' υἱὸς Φρονίοιο Νοήμων ἀντίον ηὔδα·
Him and the-son of-Phronius Noemon in-reply spoke
"Αὐτὸς ἑκών οἱ δῶκα· τί κεν ῥέξειε καὶ ἄλλος,
Myself willingly to-him I-gave what — would-do also another
ὁππότ' ἀνὴρ τοιοῦτος ἔχων μελεδήματα θυμῷ
when a-man such having cares in-heart
αἰτίζῃ; χαλεπόν κεν ἀνήνασθαι δόσιν εἴη.
asks hard — to-refuse the-giving would-be
κοῦροι δ', οἳ κατὰ δῆμον ἀριστεύουσι μεθ' ἡμέας,
young-men and who throughout the-land are-best after us
οἵ οἱ ἕπονθ'· ἐν δ' ἀρχὸν ἐγὼ βαίνοντ' ἐνόησα
they him follow in and as-leader I going saw
Μέντορα, ἠὲ θεόν, τῷ δ' αὐτῷ πάντα ἐῴκει.
Mentor or a-god to-him and himself in-all he-was-like
ἀλλὰ τὸ θαυμάζω· ἴδον ἐνθάδε Μέντορα δῖον
but this I-wonder I-saw here Mentor noble
χθιζὸν ὑπηοῖον, τότε δ' ἔμβη νηὶ Πύλονδε."
yesterday at-early-dawn then and he-embarked on-a-ship to-Pylos
Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς δώματα πατρός,
So then having-spoken he-departed to the-house of-father
τοῖσιν δ' ἀμφοτέροισιν ἀγάσσατο θυμὸς ἀγήνωρ.
of-them and both was-angered the-heart proud
μνηστῆρας δ' ἄμυδις κάθισαν καὶ παῦσαν ἀέθλων.
the-suitors and together they-seated and stopped from-the-games
τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱός,
to-them and Antinous spoke-among of-Eupeithes son

ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
grieving with-fury and greatly the-wits black-around
πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην·
were-filled the-eyes and his to-fire blazing were-like
"Ὢ πόποι, ἦ μέγα ἔργον ὑπερφιάλως ἐτελέσθη
Oh for-shame truly great deed overbearingly has-been-accomplished
Τηλεμάχῳ ὁδὸς ἥδε· φάμεν δέ οἱ οὐ τελέεσθαι.
by-Telemachus journey this we-said and for-him not to-be-accomplished
ἐκ τοσσῶνδ' ἀέκητι νέος πάις οἴχεται αὕτως
from so-many against-our-will a-young child is-gone just-so
νῆα ἐρυσσάμενος, κρίνας τ' ἀνὰ δῆμον ἀρίστους.
a-ship having-launched having-chosen and throughout the-land the-best
ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι· ἀλλά οἱ αὐτῷ
he-will-begin even further evil to-be but for-him himself
Ζεὺς ὀλέσειε βίην, πρὶν ἥβης μέτρον ἱκέσθαι.
Zeus may-destroy the-strength before of-youth the-measure to-reach
ἀλλ' ἄγε μοι δότε νῆα θοὴν καὶ εἴκοσ' ἑταίρους,
but come to-me give a-ship swift and twenty comrades
ὄφρα μιν αὐτὸν ἰόντα λοχήσομαι ἠδὲ φυλάξω
so-that him himself coming I-may-lie-in-wait-for and watch
ἐν πορθμῷ Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
in the-strait of-Ithaca both of-Samos and rugged
ὡς ἂν ἐπισμυγερῶς ναυτίλλεται εἵνεκα πατρός."
so-that — wretchedly he-may-sail for-the-sake of-father
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον.
So he-spoke they and then all approved and urged(-him)
αὐτίκ' ἔπειτ' ἀνστάντες ἔβαν δόμον εἰς Ὀδυσῆος.
at-once then rising went the-house into of-Odysseus

Οὐδ' ἄρα Πηνελόπεια πολὺν χρόνον ἦεν ἄπυστος
Nor then Penelope long time was uninformed
μύθων, οὓς μνηστῆρες ἐνὶ φρεσὶ βυσσοδόμευον·
of-the-plans which the-suitors in minds plotted-darkly
κῆρυξ γάρ οἱ ἔειπε Μέδων, ὃς ἐπεύθετο βουλὰς
the-herald for to-her told Medon who learned the-plans
αὐλῆς ἐκτὸς ἐών· οἱ δ' ἔνδοθι μῆτιν ὕφαινον.
of-the-court outside being they and within counsel wove
βῆ δ' ἴμεν ἀγγελέων διὰ δώματα Πηνελοπείῃ·
went and to-go to-announce through the-house to-Penelope
τὸν δὲ κατ' οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
him and over the-threshold having-gone addressed Penelope
"Κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες ἀγαυοί;
Herald why and you have-sent-forth the-suitors lordly
ἦ εἰπέμεναι δμῳῇσιν Ὀδυσσῆος θείοιο
whether to-tell the-maidservants of-Odysseus godlike
ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι;
from-their-works to-cease for-them and themselves a-feast to-prepare
μὴ μνηστεύσαντες μηδ' ἄλλοθ' ὁμιλήσαντες
not wooing nor elsewhere consorting
ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν·
last and latest now here may-they-dine
οἳ θάμ' ἀγειρόμενοι βίοτον κατακείρετε πολλόν,
you-who often gathering livelihood consume much
κτῆσιν Τηλεμάχοιο δαΐφρονος· οὐδέ τι πατρῶν
the-possessions of-Telemachus wise nor at-all from-your-fathers
ὑμετέρων τὸ πρόσθεν ἀκούετε, παῖδες ἐόντες,
your in-time before you-heard children being
οἷος Ὀδυσσεὺς ἔσκε μεθ' ὑμετέροισι τοκεῦσιν,
what-sort Odysseus was among your parents

οὔτε τινὰ ῥέξας ἐξαίσιον οὔτε τι εἰπὼν
neither anyone having-done outrageous nor anything having-said
ἐν δήμῳ, ἥ τ' ἐστὶ δίκη θείων βασιλήων·
in the-land which — is the-way of-godlike kings
ἄλλον κ' ἐχθαίρῃσι βροτῶν, ἄλλον κε φιλοίη.
one-man — he-may-hate of-mortals another — he-may-love
κεῖνος δ' οὔ ποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἐώργει.
he but not ever at-all reckless to-a-man did(-anything)
ἀλλ' ὁ μὲν ὑμέτερος θυμὸς καὶ ἀεικέα ἔργα
but the indeed your heart and unseemly deeds
φαίνεται, οὐδέ τίς ἐστι χάρις μετόπισθ' ἐυεργέων."
is-plain nor any there-is gratitude afterward for-good-deeds

Τὴν δ' αὖτε προσέειπε Μέδων πεπνυμένα εἰδώς·
Her and in-turn addressed Medon prudent-things knowing
"Αἲ γὰρ δή, βασίλεια, τόδε πλεῖστον κακὸν εἴη.
If-only for indeed queen this greatest evil were
ἀλλὰ πολὺ μεῖζόν τε καὶ ἀργαλεώτερον ἄλλο
but much greater both and more-grievous another
μνηστῆρες φράζονται, ὃ μὴ τελέσειε Κρονίων·
the-suitors devise which not may-accomplish the-son-of-Cronus
Τηλέμαχον μεμάασι κατακτάμεν ὀξέι χαλκῷ
Telemachus they-are-eager to-kill with-sharp bronze
οἴκαδε νισόμενον· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
homeward returning he and went for of-father tidings
ἐς Πύλον ἠγαθέην ἠδ' ἐς Λακεδαίμονα δῖαν."
to Pylos sacred and to Lacedaemon bright

Ὣς φάτο, τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
So he-spoke of-her and there were-loosed the-knees and dear heart
δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε
long and her speechlessness of-words seized the-two and her eyes
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
with-tears were-filled full and her was-checked voice
ὀψὲ δὲ δή μιν ἔπεσσιν ἀμειβομένη προσέειπε·
late and indeed him with-words answering she-addressed
"Κῆρυξ, τίπτε δέ μοι πάις οἴχεται; οὐδέ τί μιν χρεὼ
Herald why and my child is-gone nor at-all him need
νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵ θ' ἁλὸς ἵπποι
of-ships swift-going to-board which — of-the-sea horses
ἀνδράσι γίγνονται, περόωσι δὲ πουλὺν ἐφ' ὑγρήν.
for-men become cross and much over the-wet
ἦ ἵνα μηδ' ὄνομ' αὐτοῦ ἐν ἀνθρώποισι λίπηται;"
was-it so-that not-even the-name of-him among men may-be-left
Τὴν δ' ἠμείβετ' ἔπειτα Μέδων πεπνυμένα εἰδώς·
Her and answered then Medon prudent-things knowing
"Οὐκ οἶδ' ἤ τίς μιν θεὸς ὤρορεν, ἦε καὶ αὐτοῦ
Not I-know whether any him a-god roused or also his-own
θυμὸς ἐφωρμήθη ἴμεν ἐς Πύλον, ὄφρα πύθηται
heart was-moved to-go to Pylos so-that he-might-learn
πατρὸς ἑοῦ ἢ νόστον ἢ ὅν τινα πότμον ἐπέσπεν."
of-father his-own either the-return or what — fate he-met

Penelope laments on her threshold among the weeping maidservants. Eurycleia confesses that she knew and urges her to pray to Athena. Penelope bathes and prays, and Athena hears her. The suitors, thinking the queen prepares their marriage, make a ship ready.

Ὣς ἄρα φωνήσας ἀπέβη κατὰ δῶμ᾽ Ὀδυσῆος.
So then having-spoken he-departed through the-house of-Odysseus

τὴν δ᾽ ἄχος ἀμφεχύθη θυμοφθόρον, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἔτλη
her and grief was-poured-around soul-destroying nor then longer she-endured

δίφρῳ ἐφέζεσθαι πολλῶν κατὰ οἶκον ἐόντων,
on-a-chair to-sit many through the-house being

ἀλλ᾽ ἄρ᾽ ἐπ᾽ οὐδοῦ ἷζε πολυκμήτου θαλάμοιο
but then on the-threshold she-sat of-the-well-wrought chamber

οἴκτρ᾽ ὀλοφυρομένη· περὶ δὲ δμῳαὶ μινύριζον
piteously lamenting around and the-maidservants whimpered

πᾶσαι, ὅσαι κατὰ δώματ᾽ ἔσαν νέαι ἠδὲ παλαιαί.
all as-many-as through the-house were young and old

τῇς δ᾽ ἁδινὸν γοόωσα μετηύδα Πηνελόπεια·
among-them and thickly wailing spoke Penelope

"Κλῦτε, φίλαι· πέρι γάρ μοι Ὀλύμπιος ἄλγε᾽ ἔδωκεν
Hear friends beyond(-all) for to-me the-Olympian pains has-given

ἐκ πασέων, ὅσσαι μοι ὁμοῦ τράφεν ἠδ᾽ ἐγένοντο·
out-of all as-many-as with-me together were-reared and were-born

ἥ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
I-who before indeed husband noble lost lion-hearted

παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
with-all-kinds-of excellences adorned among the-Danaans

ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ᾽ Ἑλλάδα καὶ μέσον Ἄργος.
noble whose fame wide through Hellas and middle Argos

νῦν αὖ παῖδ' ἀγαπητὸν ἀνηρείψαντο θύελλαι
now in-turn child beloved have-snatched-up the-storms
ἀκλέα ἐκ μεγάρων, οὐδ' ὁρμηθέντος ἄκουσα.
without-tidings from the-halls nor of-his-setting-out did-I-hear
σχέτλιαι, οὐδ' ὑμεῖς περ ἐνὶ φρεσὶ θέσθε ἑκάστη
cruel not-even you indeed in minds put each
ἐκ λεχέων μ' ἀνεγεῖραι, ἐπιστάμεναι σάφα θυμῷ,
from bed me to-rouse knowing clearly in-heart
ὁππότ' ἐκεῖνος ἔβη κοίλην ἐπὶ νῆα μέλαιναν.
when he went hollow on ship black
εἰ γὰρ ἐγὼ πυθόμην ταύτην ὁδὸν ὁρμαίνοντα,
if for I had-learned this journey him-pondering
τῷ κε μάλ' ἤ κεν ἔμεινε καὶ ἐσσύμενός περ ὁδοῖο,
then — very either — he-would-have-stayed even hastening though for-the-journey
ἤ κέ με τεθνηκυῖαν ἐνὶ μεγάροισιν ἔλειπεν.
or — me dead in halls he-would-have-left
ἀλλά τις ὀτρηρῶς Δολίον καλέσειε γέροντα,
but someone quickly Dolius let-him-call the-old-man
δμῶ' ἐμόν, ὅν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
servant my whom to-me gave father still hither coming
καί μοι κῆπον ἔχει πολυδένδρεον, ὄφρα τάχιστα
and for-me the-garden keeps of-many-trees so-that most-quickly
Λαέρτῃ τάδε πάντα παρεζόμενος καταλέξῃ,
to-Laertes these-things all sitting-beside he-may-recount
εἰ δή πού τινα κεῖνος ἐνὶ φρεσὶ μῆτιν ὑφήνας
if indeed somehow any he in mind counsel having-woven
ἐξελθὼν λαοῖσιν ὀδύρεται, οἳ μεμάασιν
going-forth to-the people may-lament who are-eager
ὃν καὶ Ὀδυσσῆος φθῖσαι γόνον ἀντιθέοιο."
his and of-Odysseus to-destroy the-offspring godlike

Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Her and in-turn addressed dear nurse Eurycleia
"Νύμφα φίλη, σὺ μὲν ἄρ με κατάκτανε νηλέι χαλκῷ
Bride dear you indeed then me kill with-pitiless bronze
ἢ ἔα ἐν μεγάρῳ· μῦθον δέ τοι οὐκ ἐπικεύσω.
or let(-me)-be in the-hall the-word and to-you not will-I-conceal
ᾔδε' ἐγὼ τάδε πάντα, πόρον δέ οἱ ὅσσ' ἐκέλευε, 745
knew I these-things all I-provided and to-him as-much-as he-bade
σῖτον καὶ μέθυ ἡδύ· ἐμεῦ δ' ἔλετο μέγαν ὅρκον
bread and wine sweet of-me and he-took great oath
μὴ πρὶν σοὶ ἐρέειν, πρὶν δωδεκάτην γε γενέσθαι
not before to-you to-tell before the-twelfth indeed to-come
ἢ σ' αὐτὴν ποθέσαι καὶ ἀφορμηθέντος ἀκοῦσαι,
or you yourself to-miss(-him) and of-his-setting-out to-hear
ὡς ἂν μὴ κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.
so-that — not weeping over skin fair you-mar
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροΐ εἵμαθ' ἑλοῦσα, 750
but having-bathed clean on-skin clothes taking
εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
into the-upper-rooms having-gone-up with handmaid women
εὔχε' Ἀθηναίῃ κούρῃ Διὸς αἰγιόχοιο·
pray to-Athena daughter of-Zeus aegis-bearing
ἡ γάρ κέν μιν ἔπειτα καὶ ἐκ θανάτοιο σαώσαι.
she for — him then even out-of death may-save

μηδὲ γέροντα κάκου κεκακωμένον· οὐ γὰρ ὀίω
nor the-old-man vex vexed not for I-think
πάγχυ θεοῖς μακάρεσσι γονὴν Ἀρκεισιάδαο
wholly to-the-gods blessed the-race of-the-son-of-Arceisius
ἔχθεσθ', ἀλλ' ἔτι πού τις ἐπέσσεται ὅς κεν ἔχῃσι
to-be-hateful but still somewhere someone will-be who — will-hold
δώματά θ' ὑψερεφέα καὶ ἀπόπροθι πίονας ἀγρούς."
the-house both high-roofed and far-away rich fields
Ὣς φάτο, τῆς δ' εὖνησε γόον, σχέθε δ' ὄσσε γόοιο.
So she-spoke of-her and lulled the-lament checked and the-eyes from-lament
ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵματ' ἑλοῦσα
she and having-bathed clean on-skin clothes taking
εἰς ὑπερῷ' ἀνέβαινε σὺν ἀμφιπόλοισι γυναιξίν,
into the-upper-rooms went-up with handmaid women
ἐν δ' ἔθετ' οὐλοχύτας κανέῳ, ἠρᾶτο δ' Ἀθήνῃ·
in and put barley in-a-basket prayed and to-Athena
"Κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
Hear me of-aegis-bearing Zeus child unwearied-one
εἴ ποτέ τοι πολύμητις ἐνὶ μεγάροισιν Ὀδυσσεὺς
if ever to-you of-many-wiles in halls Odysseus
ἢ βοὸς ἢ ὄιος κατὰ πίονα μηρί' ἔκηε,
either of-ox or of-sheep down fat thighs burned
τῶν νῦν μοι μνῆσαι, καί μοι φίλον υἷα σάωσον,
these-things now for-me remember and for-me dear son save
μνηστῆρας δ' ἀπάλαλκε κακῶς ὑπερηνορέοντας."
the-suitors and ward-off evilly overbearing

Ὣς εἰποῦσ᾽ ὀλόλυξε, θεὰ δέ οἱ ἔκλυεν ἀρῆς.
So having-spoken she-raised-the-cry the-goddess and her heard the-prayer
μνηστῆρες δ᾽ ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
the-suitors and clamored throughout the-halls shadowy
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
thus and one would-say of-the-youths overbearing
“Ἦ μάλα δὴ γάμον ἄμμι πολυμνήστη βασίλεια
Truly very indeed marriage for-us the-much-wooed queen
ἀρτύει, οὐδέ τι οἶδεν ὅ οἱ φόνος υἱὶ τέτυκται.”
prepares nor at-all knows that for-her slaughter for-the-son has-been-made
Ὣς ἄρα τις εἴπεσκε, τὰ δ᾽ οὐκ ἴσαν ὡς ἐτέτυκτο.
So then one would-say these-things but not they-knew how it-had-been-made
τοῖσιν δ᾽ Ἀντίνοος ἀγορήσατο καὶ μετέειπε·
to-them and Antinous addressed-the-assembly and spoke-among(-them)
“Δαιμόνιοι, μύθους μὲν ὑπερφιάλους ἀλέασθε
Strange-men speeches indeed overbearing avoid
πάντας ὁμῶς, μή πού τις ἀπαγγείλῃσι καὶ εἴσω.
all alike lest somehow anyone report(-them) even inside
ἀλλ᾽ ἄγε σιγῇ τοῖον ἀναστάντες τελέωμεν
but come in-silence such rising let-us-accomplish
μῦθον, ὃ δὴ καὶ πᾶσιν ἐνὶ φρεσὶν ἤραρεν ἡμῖν.”
the-plan which indeed also to-all in minds fitted to-us
Ὣς εἰπὼν ἐκρίνατ᾽ ἐείκοσι φῶτας ἀρίστους,
So having-spoken he-chose twenty men best
βὰν δ᾽ ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
went and to-go to the-ship swift and the-shore of-the-sea
νῆα μὲν οὖν πάμπρωτον ἁλὸς βένθοσδε ἔρυσσαν,
the-ship indeed then first-of-all of-the-sea into-the-deep they-drew
ἐν δ᾽ ἱστόν τ᾽ ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ,
in and mast both put and sails in-the-ship black

ἠρτύναντο δ' ἐρετμὰ τροποῖς ἐν δερματίνοισιν,
fitted and oars straps in leathern
πάντα κατὰ μοῖραν, ἀνά θ' ἱστία λευκὰ πέτασσαν·
all according-to due up and sails white spread
τεύχεα δέ σφ' ἤνεικαν ὑπέρθυμοι θεράποντες.
weapons and for-them carried high-spirited attendants
ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὥρμισαν, ἐκ δ' ἔβαν αὐτοί·
high and in deep-water her indeed they-moored out and went themselves
ἔνθα δὲ δόρπον ἕλοντο, μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
there and supper took waited and for evening to-come

IV.10 · THE PHANTOM AND THE AMBUSH

Penelope lies sleepless without food, until sleep takes her. Athena sends a phantom in the shape of her sister Iphthime, who tells her that Athena is with her son. When Penelope asks whether Odysseus lives, the phantom will not say and vanishes. The suitors sail to the rocky islet of Asteris to lie in wait for Telemachus.

Ἡ δ' ὑπερῴῳ αὖθι περίφρων Πηνελόπεια
She and in-the-upper-room there wise Penelope
κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
lay then foodless untasting of-food and of-drink
ὁρμαίνουσ' ἤ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων,
pondering whether her death should-escape son blameless
ἦ ὅ γ' ὑπὸ μνηστῆρσιν ὑπερφιάλοισι δαμείη.
or he indeed by the-suitors overbearing should-be-subdued
ὅσσα δὲ μερμήριξε λέων ἀνδρῶν ἐν ὁμίλῳ
as-much-as and ponders a-lion of-men in a-throng
δείσας, ὁππότε μιν δόλιον περὶ κύκλον ἄγωσι,
fearing when him crafty around ring they-draw

τόσσα μιν ὁρμαίνουσαν ἐπήλυθε νήδυμος ὕπνος·
so-much her pondering came-upon sweet sleep
εὗδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἅψεα πάντα.
she-slept and reclining were-loosed and her joints all
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη·
Then in-turn another-thing thought the-goddess flashing-eyed Athena
εἴδωλον ποίησε, δέμας δ' ἤικτο γυναικί,
a-phantom she-made in-form and it-was-like to-a-woman
Ἰφθίμῃ, κούρῃ μεγαλήτορος Ἰκαρίοιο,
Iphthime daughter of-great-hearted Icarius
τὴν Εὔμηλος ὄπυιε Φερῇς ἔνι οἰκία ναίων.
whom Eumelus wedded Pherae in house dwelling
πέμπε δέ μιν πρὸς δώματ' Ὀδυσσῆος θείοιο,
sent and it to the-house of-Odysseus godlike
ἦος Πηνελόπειαν ὀδυρομένην γοόωσαν
so-that Penelope grieving lamenting
παύσειε κλαυθμοῖο γόοιό τε δακρυόεντος.
it-might-stop from-weeping lament and tearful
ἐς θάλαμον δ' εἰσῆλθε παρὰ κληῖδος ἱμάντα,
into the-chamber and it-entered beside the-bolt's strap
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
stood and then over the-head and her to speech said
"Εὕδεις, Πηνελόπεια, φίλον τετιημένη ἦτορ;
Do-you-sleep Penelope dear grieved heart
οὐ μέν σ' οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες
not indeed you nor let the-gods easily living
κλαίειν οὐδ' ἀκάχησθαι, ἐπεί ῥ' ἔτι νόστιμός ἐστι
weep nor be-distressed since then still destined-to-return is
σὸς παῖς· οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστι."
your child not indeed for at-all against-the-gods sinner is

Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια,
Her and answered then wise Penelope
ἠδὺ μάλα κνώσσουσ' ἐν ὀνειρείῃσι πύλῃσιν·
sweetly very slumbering in dreamy gates
"Τίπτε, κασιγνήτη, δεῦρ' ἤλυθες; οὔ τι πάρος γε
Why sister hither have-you-come not at-all before indeed
πωλέ', ἐπεὶ μάλα πολλὸν ἀπόπροθι δώματα ναίεις·
used-to-come since very far far-away a-house you-dwell-in
καί με κέλεαι παύσασθαι ὀιζύος ἠδ' ὀδυνάων
and me you-bid to-cease from-misery and pains
πολλέων, αἵ μ' ἐρέθουσι κατὰ φρένα καὶ κατὰ θυμόν,
many which me trouble in mind and in heart
ἥ πρὶν μὲν πόσιν ἐσθλὸν ἀπώλεσα θυμολέοντα,
I-who before indeed husband noble lost lion-hearted
παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν,
with-all-kinds-of excellences adorned among the-Danaans
ἐσθλόν, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος·
noble whose fame wide through Hellas and middle Argos
νῦν αὖ παῖς ἀγαπητὸς ἔβη κοίλης ἐπὶ νηός,
now in-turn child beloved has-gone hollow on ship
νήπιος, οὔτε πόνων ἐὺ εἰδὼς οὔτ' ἀγοράων.
a-child neither of-toils well knowing nor of-assemblies
τοῦ δὴ ἐγὼ καὶ μᾶλλον ὀδύρομαι ἤ περ ἐκείνου·
for-him indeed I even more grieve than indeed for-that-one
τοῦ δ' ἀμφιτρομέω καὶ δείδια, μή τι πάθῃσιν,
for-him and I-tremble and fear lest anything he-suffer
ἢ ὅ γε τῶν ἐνὶ δήμῳ, ἵν' οἴχεται, ἢ ἐνὶ πόντῳ·
either he indeed of-those in the-land where he-is-gone or on the-sea

δυσμενέες γὰρ πολλοὶ ἐπ᾽ αὐτῷ μηχανόωνται,
hostile-men for many against him devise
ἱέμενοι κτεῖναι πρὶν πατρίδα γαῖαν ἱκέσθαι.”
eager to-kill(-him) before native land to-reach
Τὴν δ᾽ ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν·
Her and answering addressed the-phantom dim
“Θάρσει, μηδέ τι πάγχυ μετὰ φρεσὶ δείδιθι λίην· 825
Take-heart nor at-all wholly in mind fear too-much
τοίη γάρ οἱ πομπὸς ἅμ᾽ ἕρχεται, ἥν τε καὶ ἄλλοι
such for to-him an-escort with(-him) goes whom — also others
ἀνέρες ἠρήσαντο παρεστάμεναι, δύναται γάρ,
men have-prayed to-stand-beside(-them) she-is-able for
Παλλὰς Ἀθηναίη· σὲ δ᾽ ὀδυρομένην ἐλεαίρει·
Pallas Athena you and grieving she-pities
ἣ νῦν με προέηκε τεὶν τάδε μυθήσασθαι.”
who now me sent-forth to-you these-things to-tell
Τὴν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια· 830
Her and in-turn addressed wise Penelope
“Εἰ μὲν δὴ θεός ἐσσι θεοῖό τε ἔκλυες αὐδῆς,
If indeed truly a-god you-are of-a-god and have-heard the-voice
εἰ δ᾽ ἄγε μοι καὶ κεῖνον ὀιζυρὸν κατάλεξον,
if and come to-me also of-that-one wretched tell
ἤ που ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
whether somewhere still he-lives and sees the-light of-the-sun
ἦ ἤδη τέθνηκε καὶ εἰν Ἀίδαο δόμοισι.”
or already has-died and in of-Hades the-house

Τὴν δ' ἀπαμειβόμενον προσέφη εἴδωλον ἀμαυρόν·
Her and answering addressed the-phantom dim
"Οὐ μέν τοι κεῖνόν γε διηνεκέως ἀγορεύσω,
Not indeed to-you him indeed fully I-will-tell
ζώει ὅ γ' ἦ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν."
lives he indeed or has-died bad and windy-things to-babble
Ὣς εἰπὸν σταθμοῖο παρὰ κληῖδα λιάσθη
So having-spoken of-the-doorpost by the-bolt it-slipped-away
ἐς πνοιὰς ἀνέμων. ἡ δ' ἐξ ὕπνου ἀνόρουσε
into the-breaths of-winds she and out-of sleep started-up
κούρη Ἰκαρίοιο· φίλον δέ οἱ ἦτορ ἰάνθη,
daughter of-Icarius dear and her heart was-warmed
ὥς οἱ ἐναργὲς ὄνειρον ἐπέσσυτο νυκτὸς ἀμολγῷ.
because to-her clear the-dream had-rushed of-night in-the-dead
Μνηστῆρες δ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα
The-suitors and having-embarked sailed-over wet ways
Τηλεμάχῳ φόνον αἰπὺν ἐνὶ φρεσὶν ὁρμαίνοντες.
for-Telemachus slaughter sheer in minds pondering
ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα,
is and a-certain island in-the-middle sea rocky
μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
between Ithaca both Samos and rugged
Ἀστερίς, οὐ μεγάλη· λιμένες δ' ἔνι ναύλοχοι αὐτῇ
Asteris not great harbors and are-in ship-sheltering it
ἀμφίδυμοι· τῇ τόν γε μένον λοχόωντες Ἀχαιοί.
with-two-entrances there him indeed waited lying-in-wait the-Achaeans

BOOK V

V.1 · THE SECOND COUNCIL

At dawn Athena reminds the gods of Odysseus' suffering on Calypso's island and of the plot against Telemachus. Zeus answers that Odysseus' revenge was her own plan, and tells her to bring Telemachus home safely. He sends Hermes to tell Calypso that Odysseus must leave on a raft and on the twentieth day reach the Phaeacians, who will honor him like a god and send him home with gifts.

Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
Dawn and from bed beside lordly Tithonus
ὄρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
rose so-that to-immortals light she-might-bring and to-mortals
οἱ δὲ θεοὶ θώκόνδε καθίζανον, ἐν δ' ἄρα τοῖσι
they and the-gods to-the-session sat in and then them
Ζεὺς ὑψιβρεμέτης, οὗ τε κράτος ἐστὶ μέγιστον.
Zeus thundering-on-high whose — might is greatest
τοῖσι δ' Ἀθηναίη λέγε κήδεα πόλλ' Ὀδυσῆος
to-them and Athena told troubles many of-Odysseus
μνησαμένη· μέλε γάρ οἱ ἐὼν ἐν δώμασι νύμφης·
recalling(-them) was-of-concern for to-her being in the-halls of-the-nymph
"Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Zeus father and other blessed gods always being
μή τις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω
not any longer kindly gentle and mild let-be
σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς,
sceptered king nor in-mind righteous-things knowing
ἀλλ' αἰεὶ χαλεπός τ' εἴη καὶ αἴσυλα ῥέζοι·
but always harsh — may-be-be and wicked-things may-do

ὡς οὔ τις μέμνηται Ὀδυσσῆος θείοιο
since not any remembers Odysseus godlike
λαῶν οἷσιν ἄνασσε, πατὴρ δ' ὡς ἤπιος ἦεν.
of-the-people whom he-ruled father and like gentle was
ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖται κρατέρ' ἄλγεα πάσχων
but he indeed on an-island lies mighty pains suffering
νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
of-the-nymph in the-halls Calypso who him by-force
ἴσχει· ὁ δ' οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι·
holds he and not is-able his-own native land to-reach
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
not for to-him at-hand ships furnished-with-oars and comrades
οἵ κέν μιν πέμποιεν ἐπ' εὐρέα νῶτα θαλάσσης.
who — him might-convey over broad back of-the-sea
νῦν αὖ παῖδ' ἀγαπητὸν ἀποκτεῖναι μεμάασιν
now in-turn child beloved to-kill they-are-eager
οἴκαδε νισόμενον· ὁ δ' ἔβη μετὰ πατρὸς ἀκουὴν
homeward returning he and went for of-father tidings
ἐς Πύλον ἠγαθέην ἠδ' ἐς Λακεδαίμονα δῖαν."
to Pylos sacred and to Lacedaemon bright
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Her and answering addressed cloud-gatherer Zeus
"Τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
Child my what you word escaped the-fence of-teeth
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
not for indeed this indeed devised plan yourself
ὡς ἦ τοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
that truly indeed them Odysseus will-take-vengeance-on coming
Τηλέμαχον δὲ σὺ πέμψον ἐπισταμένως, δύνασαι γάρ,
Telemachus and you send skillfully you-are-able for

ὥς κε μάλ' ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται,
so-that — very unscathed his-own native land he-may-reach
μνηστῆρες δ' ἐν νηὶ παλιμπετὲς ἀπονέωνται."
the-suitors and in the-ship back-again may-return
Ἦ ῥα καὶ Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
He-spoke then and to-Hermes son dear in-reply spoke
"Ἑρμεία, σὺ γὰρ αὖτε τά τ' ἄλλα περ ἄγγελός ἐσσι,
Hermes you for in-turn in-the — other-things indeed messenger are
νύμφῃ ἐυπλοκάμῳ εἰπεῖν νημερτέα βουλήν,
to-the-nymph fair-tressed tell unerring resolve
νόστον Ὀδυσσῆος ταλασίφρονος, ὥς κε νέηται
the-return of-Odysseus steadfast how — he-may-return
οὔτε θεῶν πομπῇ οὔτε θνητῶν ἀνθρώπων·
neither by-gods' escort nor of-mortal men
ἀλλ' ὅ γ' ἐπὶ σχεδίης πολυδέσμου πήματα πάσχων
but he indeed on a-raft many-bound sorrows suffering
ἤματί κ' εἰκοστῷ Σχερίην ἐρίβωλον ἵκοιτο,
on-day — twentieth Scheria fertile may-reach
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν,
of-the-Phaeacians to land who near-to-the-gods are-born
οἵ κέν μιν περὶ κῆρι θεὸν ὣς τιμήσουσιν,
who — him beyond in-heart a-god like will-honor
πέμψουσιν δ' ἐν νηὶ φίλην ἐς πατρίδα γαῖαν,
will-send and in a-ship dear to native land
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά τε δόντες,
bronze both gold and enough clothing and having-given
πόλλ', ὅσ' ἂν οὐδέ ποτε Τροίης ἐξήρατ' Ὀδυσσεύς,
much as-much-as — not-even ever from-Troy had-carried-off Odysseus
εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ ληίδος αἶσαν.
if indeed unharmed he-had-come having-won from the-spoil (his)-share

ὣς γάρ οἱ μοῖρ' ἐστὶ φίλους τ' ἰδέειν καὶ ἱκέσθαι
so for for-him fate is friends both to-see and to-reach
οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν."
house to high-roofed and his-own to native land

V.2 · HERMES AND CALYPSO

Hermes skims the waves to Calypso's island and finds her singing at her loom in a cave among trees, birds, vines, and springs. Odysseus is weeping on the shore. Calypso welcomes Hermes, who delivers Zeus' order. She protests that the gods begrudge goddesses their mortal husbands, as with Orion and Iasion, but agrees to let Odysseus go, though she has no ship to give him.

Ὣς ἔφατ', οὐδ' ἀπίθησε διάκτορος ἀργεϊφόντης.
So he-spoke nor disobeyed the-guide Argus-slayer
αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
at-once then beneath feet he-bound fair sandals
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
immortal golden which him bore both over the-wet
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο.
and over boundless earth with the-blasts of-the-wind
εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
took and the-wand with-which — of-men the-eyes he-charms
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
whose he-wishes them and in-turn also sleeping he-wakes
τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς ἀργεϊφόντης.
it in hands holding flew the-mighty Argus-slayer
Πιερίην δ' ἐπιβὰς ἐξ αἰθέρος ἔμπεσε πόντῳ·
Pieria and setting-foot-on from the-upper-air he-fell-upon sea
σεύατ' ἔπειτ' ἐπὶ κῦμα λάρῳ ὄρνιθι ἐοικώς,
sped then over the-wave to-a-gull bird like

ὅς τε κατὰ δεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο
which — through dread bays of-the-sea barren
ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ·
fish catching thick wings wets in-brine
τῷ ἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς.
it like many rode waves Hermes
ἀλλ᾽ ὅτε δὴ τὴν νῆσον ἀφίκετο τηλόθ᾽ ἐοῦσαν,
but when indeed the island he-reached far-off being
ἔνθ᾽ ἐκ πόντου βὰς ἰοειδέος ἠπειρόνδε
there from the-sea having-stepped violet-dark to-the-land
ἤιεν, ὄφρα μέγα σπέος ἵκετο, τῷ ἔνι νύμφη
he-went until great cave he-reached which in the-nymph
ναίεν ἐυπλόκαμος· τὴν δ᾽ ἔνδοθι τέτμεν ἐοῦσαν.
dwelt fair-tressed her and within found being
πῦρ μὲν ἐπ᾽ ἐσχαρόφιν μέγα καίετο, τηλόσε δ᾽ ὀδμὴ
fire indeed on the-hearth great burned far and the-scent
κέδρου τ᾽ εὐκεάτοιο θύου τ᾽ ἀνὰ νῆσον ὀδώδει
of-cedar both easily-split of-citron-wood and through the-island smelled
δαιομένων· ἡ δ᾽ ἔνδον ἀοιδιάουσ᾽ ὀπὶ καλῇ
burning she and inside singing with-voice fair
ἱστὸν ἐποιχομένη χρυσείῃ κερκίδ᾽ ὕφαινεν.
the-loom going-to-and-fro with-golden shuttle wove
ὕλη δὲ σπέος ἀμφὶ πεφύκει τηλεθόωσα,
a-wood and the-cave around grew flourishing
κλήθρη τ᾽ αἴγειρός τε καὶ εὐώδης κυπάρισσος.
alder both poplar and also fragrant cypress
ἔνθα δέ τ᾽ ὄρνιθες τανυσίπτεροι εὐνάζοντο,
there and — birds long-winged nested

σκῶπές τ᾽ ἴρηκές τε τανύγλωσσοί τε κορῶναι
owls both falcons and long-tongued and crows
εἰνάλιαι, τῇσίν τε θαλάσσια ἔργα μέμηλεν.
of-the-sea to-whom — sea works are-of-concern
ἡ δ᾽ αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο
it and there was-spread-out around the-cave hollow
ἡμερὶς ἠβώωσα, τεθήλει δὲ σταφυλῇσι.
a-vine in-youthful-bloom flourished and with-clusters
κρῆναι δ᾽ ἑξείης πίσυρες ῥέον ὕδατι λευκῷ,
springs and in-a-row four flowed with-water clear
πλησίαι ἀλλήλων τετραμμέναι ἄλλυδις ἄλλη.
near to-each-other turned this-way that-way
ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ἴου ἠδὲ σελίνου
around and meadows soft of-violet and of-celery
θήλεον. ἔνθα κ᾽ ἔπειτα καὶ ἀθάνατός περ ἐπελθὼν
bloomed there — then even an-immortal indeed coming
θηήσαιτο ἰδὼν καὶ τερφθείη φρεσὶν ἦσιν.
would-gaze seeing and be-delighted in-mind his-own
ἔνθα στὰς θηεῖτο διάκτορος ἀργεϊφόντης.
there standing gazed the-guide Argus-slayer
αὐτὰρ ἐπεὶ δὴ πάντα ἑῷ θηήσατο θυμῷ,
but when indeed all in-his-own he-had-gazed-at heart
αὐτίκ᾽ ἄρ᾽ εἰς εὐρὺ σπέος ἤλυθεν. οὐδέ μιν ἄντην
at-once then into wide cave he-came nor him face-to-face
ἠγνοίησεν ἰδοῦσα Καλυψώ, δῖα θεάων·
failed-to-know seeing Calypso bright of-goddesses
οὐ γάρ τ᾽ ἀγνῶτες θεοὶ ἀλλήλοισι πέλονται
not for — unknown gods to-each-other are
ἀθάνατοι, οὐδ᾽ εἴ τις ἀπόπροθι δώματα ναίει.
immortal not-even if one far-away a-house dwells-in

οὐδ᾽ ἄρ᾽ Ὀδυσσῆα μεγαλήτορα ἔνδον ἔτετμεν,
nor then Odysseus great-hearted inside did-he-find
ἀλλ᾽ ὅ γ᾽ ἐπ᾽ ἀκτῆς κλαῖε καθήμενος, ἔνθα πάρος περ,
but he indeed on the-shore wept sitting where before indeed
δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων.
with-tears and groans and pains heart racking
πόντον ἐπ᾽ ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.
the-sea over barren he-would-look tears shedding
Ἑρμείαν δ᾽ ἐρέεινε Καλυψώ, δῖα θεάων, 85
Hermes and questioned Calypso bright of-goddesses
ἐν θρόνῳ ἱδρύσασα φαεινῷ σιγαλόεντι·
on a-chair having-seated(-him) shining glittering
"Τίπτε μοι, Ἑρμεία χρυσόρραπι, εἰλήλουθας
Why to-me Hermes of-the-golden-wand have-you-come
αἰδοῖός τε φίλος τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
revered both dear and before indeed indeed not at-all you-come-often
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
say what thing you-intend to-accomplish(-it) and me heart bids
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν. 90
if I-am-able to-accomplish(-it) indeed and if accomplished it-is
ἀλλ᾽ ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω."
but follow further so-that for-you beside gifts-of-guests I-may-set
Ὣς ἄρα φωνήσασα θεὰ παρέθηκε τράπεζαν
So then having-spoken the-goddess set-beside(-him) a-table
ἀμβροσίης πλήσασα, κέρασσε δὲ νέκταρ ἐρυθρόν.
with-ambrosia having-filled(-it) mixed and nectar red
αὐτὰρ ὁ πῖνε καὶ ἦσθε διάκτορος ἀργεϊφόντης.
but he drank and ate the-guide Argus-slayer

αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἥραρε θυμὸν ἐδωδῇ,
but when he-had-dined and refreshed heart with-food
καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπεν·
and then indeed her with-words answering he-addressed
"Εἰρωτᾷς μ' ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι
You-ask me having-come goddess a-god but I to-you
νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
truly the word will-tell you-bid for
Ζεὺς ἐμέ γ' ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα·
Zeus me indeed bade hither to-come not wishing
τίς δ' ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
who and — willingly so-much would-run-across salt water
ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵ τε θεοῖσιν
unspeakable nor any near of-mortals a-city who — to-the-gods
ἱερά τε ῥέζουσι καὶ ἐξαίτους ἑκατόμβας.
sacrifices both offer and chosen hecatombs
ἀλλὰ μάλ' οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο
but very not in-any-way it-is-possible of-Zeus the-mind aegis-bearing
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ' ἁλιῶσαι.
either to-evade for-another god or to-make-vain
φησί τοι ἄνδρα παρεῖναι ὀιζυρώτατον ἄλλων,
he-says you-know a-man is-here most-wretched of-the-others
τῶν ἀνδρῶν, οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο
of-those men who the-city around of-Priam fought
εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
for-nine-years in-the-tenth and the-city having-sacked went
οἴκαδ'· ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο,
home but in the-return Athena they-offended
ἥ σφιν ἐπῶρσ' ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
who on-them roused wind both evil and waves long

ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
there others indeed all perished noble comrades
τὸν δ᾽ ἄρα δεῦρ᾽ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
him and then hither wind both bearing and wave drove
τὸν νῦν σ᾽ ἠνώγειν ἀποπεμπέμεν ὅττι τάχιστα·
him now you he-bade to-send-away as-quickly as-possible
οὐ γάρ οἱ τῇδ᾽ αἶσα φίλων ἀπονόσφιν ὀλέσθαι,
not for for-him here fate from-friends far-away to-perish
ἀλλ᾽ ἔτι οἱ μοῖρ᾽ ἐστὶ φίλους τ᾽ ἰδέειν καὶ ἱκέσθαι
but still for-him fate is friends both to-see and to-reach
οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν.᾽᾽
house to high-roofed and his-own to native land
Ὣς φάτο, ῥίγησεν δὲ Καλυψώ, δῖα θεάων,
So he-spoke shuddered and Calypso bright of-goddesses
καί μιν φωνήσασ᾽ ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
᾽᾽Σχέτλιοί ἐστε, θεοί, ζηλήμονες ἔξοχον ἄλλων,
Cruel you-are gods jealous above others
οἵ τε θεαῖς ἀγάασθε παρ᾽ ἀνδράσιν εὐνάζεσθαι
who — goddesses begrudge beside men to-lie
ἀμφαδίην, ἤν τίς τε φίλον ποιήσετ᾽ ἀκοίτην.
openly if any — dear makes (her)-bedfellow
ὡς μὲν ὅτ᾽ Ὠρίων᾽ ἕλετο ῥοδοδάκτυλος Ἠώς,
so indeed when Orion took rosy-fingered Dawn
τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες,
so-long her begrudged gods easily living
ἦος ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνὴ
until in Ortygia golden-throned Artemis pure
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν.
with-her gentle arrows assailing slew(-him)

ὣς δ' ὁπότ' Ἰασίωνι ἐυπλόκαμος Δημήτηρ,
so and when Iasion fair-tressed Demeter
ᾧ θυμῷ εἴξασα, μίγη φιλότητι καὶ εὐνῇ
to-her heart yielding lay-with(-him) in-love and in-bed
νειῷ ἔνι τριπόλῳ· οὐδὲ δὴν ἦεν ἄπυστος
a-fallow in thrice-plowed nor long was uninformed
Ζεύς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.
Zeus who him slew striking with-dazzling thunderbolt
ὣς δ' αὖ νῦν μοι ἄγασθε, θεοί, βροτὸν ἄνδρα παρεῖναι.
so and in-turn now me you-begrudge gods a-mortal man to-be-with(-me)
τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα
him indeed I saved about the-keel bestriding
οἷον, ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ
alone since his ship swift with-dazzling thunderbolt
Ζεὺς ἔλσας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Zeus having-hemmed-in shattered mid in wine-dark sea
ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
there others indeed all perished noble comrades
τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
him and then hither wind both bearing and wave drove
τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον, ἠδὲ ἔφασκον
him indeed I loved both and nurtured and declared
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
to-make(-him) immortal and ageless days all
ἀλλ' ἐπεὶ οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο
but since not in-any-way it-is-possible of-Zeus the-mind aegis-bearing
οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ' ἁλιῶσαι,
either to-evade for-another god or to-make-vain
ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,
let-him-go if him he urges and bids

πόντον ἐπ᾽ ἀτρύγετον· πέμψω δέ μιν οὔ πῃ ἐγώ γε·
the-sea over barren I-will-send and him not anyhow I indeed
οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
not for to-me at-hand ships furnished-with-oars and comrades
οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
who — him might-convey over broad back of-the-sea
αὐτάρ οἱ πρόφρων ὑποθήσομαι, οὐδ᾽ ἐπικεύσω,
but to-him kindly I-will-advise nor will-conceal
ὥς κε μάλ᾽ ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται.”
so-that — very unscathed his-own native land he-may-reach
Τὴν δ᾽ αὖτε προσέειπε διάκτορος ἀργεϊφόντης·
Her and in-turn addressed the-guide Argus-slayer
“Οὕτω νῦν ἀπόπεμπε, Διὸς δ᾽ ἐποπίζεο μῆνιν,
So now send(-him)-away of-Zeus and regard the-wrath
μή πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ.”
lest somehow against-you hereafter being-angry he-be-harsh

V.3 · CALYPSO LETS ODYSSEUS GO

Calypso finds Odysseus weeping by the sea and tells him to build a raft. He suspects a trick until she swears by the Styx. At supper she says that if he knew his coming troubles he would stay and be immortal. Odysseus answers that Penelope is less fair than she, but he longs for home. They spend the night together.

Ὣς ἄρα φωνήσας ἀπέβη κρατὺς ἀργεϊφόντης·
So then having-spoken departed the-mighty Argus-slayer
ἡ δ᾽ ἐπ᾽ Ὀδυσσῆα μεγαλήτορα πότνια νύμφη
she and to Odysseus great-hearted the-queenly nymph
ἤϊ᾽, ἐπεὶ δὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιάων.
went since indeed of-Zeus she-had-heard the-messages

τὸν δ' ἄρ' ἐπ' ἀκτῆς εὗρε καθήμενον· οὐδέ ποτ' ὄσσε
him and then on the-shore she-found sitting nor ever the-two-eyes
δακρυόφιν τέρσοντο, κατείβετο δὲ γλυκὺς αἰὼν
of-tears were-dry was-ebbing and sweet life
νόστον ὀδυρομένῳ, ἐπεὶ οὐκέτι ἥνδανε νύμφη.
for-return lamenting since no-longer pleased(-him) the-nymph
ἀλλ' ἦ τοι νύκτας μὲν ἰαύεσκεν καὶ ἀνάγκῃ
but truly indeed by-nights indeed he-would-sleep even by-necessity
ἐν σπέσσι γλαφυροῖσι παρ' οὐκ ἐθέλων ἐθελούσῃ·
in caves hollow beside not willing willing
ἤματα δ' ἂμ πέτρῃσι καὶ ἠιόνεσσι καθίζων
by-days and on rocks and shores sitting
δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυμὸν ἐρέχθων
with-tears and groans and pains heart racking
πόντον ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.
the-sea over barren he-would-look tears shedding
ἀγχοῦ δ' ἱσταμένη προσεφώνεε δῖα θεάων·
near and standing addressed(-him) bright of-goddesses
"Κάμμορε, μή μοι ἔτ' ἐνθάδ' ὀδύρεο, μηδέ τοι αἰὼν
Ill-fated not to-me longer here lament nor your life
φθινέτω· ἤδη γάρ σε μάλα πρόφρασσ' ἀποπέμψω.
let-waste already for you very willingly I-will-send-away
ἀλλ' ἄγε δούρατα μακρὰ τεμὼν ἁρμόζεο χαλκῷ
but come beams long cutting fit-together with-bronze
εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια πῆξαι ἐπ' αὐτῆς
a-broad raft but decking fix on it
ὑψοῦ, ὥς σε φέρῃσιν ἐπ' ἠεροειδέα πόντον.
high so-that you it-may-carry over misty sea

αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν
but I bread and water and wine red
ἐνθήσω μενοεικέ', ἅ κέν τοι λιμὸν ἐρύκοι,
will-put-in satisfying which — for-you hunger may-keep-off
εἵματά τ' ἀμφιέσω· πέμψω δέ τοι οὖρον ὄπισθεν,
clothes and I-will-put-around(-you) will-send and to-you a-fair-wind behind
ὥς κε μάλ' ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι,
so-that — very unscathed your native land you-may-reach
αἴ κε θεοί γ' ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
if — the-gods indeed wish who heaven broad hold
οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε,"
who than-me stronger are to-devise both to-accomplish and

Ὣς φάτο, ῥίγησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
So she-spoke shuddered and much-enduring noble Odysseus
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and her having-spoken words winged addressed
" Ἄλλο τι δὴ σύ, θεά, τόδε μήδεαι, οὐδέ τι πομπήν,
Other something indeed you goddess this devise nor at-all sending
ἥ με κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
who me bid on-a-raft to-cross great gulf of-the-sea
δεινόν τ' ἀργαλέον τε· τὸ δ' οὐδ' ἐπὶ νῆες ἔῖσαι
dread both grievous and it and not-even over ships balanced
ὠκύποροι περόωσιν, ἀγαλλόμεναι Διὸς οὔρῳ.
swift-going cross exulting of-Zeus in-the-fair-wind
οὐδ' ἂν ἐγὼν ἀέκητι σέθεν σχεδίης ἐπιβαίην,
nor — I against-the-will of-you a-raft would-board
εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι
if not for-me you-would-endure indeed goddess a-great oath to-swear
μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο."
not at-all for-me myself woe evil to-plan other

Ὣς φάτο, μείδησεν δὲ Καλυψὼ δῖα θεάων,
So he-spoke smiled and Calypso bright of-goddesses
χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
with-hand and him stroked word and spoke out and named(-him)
“Ἦ δὴ ἀλιτρός γ᾽ ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
Truly indeed a-rogue indeed you-are and not vain-things knowing
οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.
such indeed the word you-have-thought to-speak
ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
let-know now this earth and heaven broad above
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
and the down-flowing of-Styx water which — greatest
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
oath most-dread and is to-the-blessed gods
μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
not at-all for-you yourself woe evil to-plan other
ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ᾽ ἂν ἐμοί περ
but those-things indeed I-think and devise whatever — for-me indeed
αὐτῇ μηδοίμην, ὅτε με χρειὼ τόσον ἵκοι·
myself I-would-devise when me need so-great should-come-to
καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῇ
also for my mind is righteous nor my myself
θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ᾽ ἐλεήμων.”
heart in breast iron but compassionate
Ὣς ἄρα φωνήσασ᾽ ἡγήσατο δῖα θεάων
So then having-spoken led-the-way bright of-goddesses
καρπαλίμως· ὁ δ᾽ ἔπειτα μετ᾽ ἴχνια βαῖνε θεοῖο.
swiftly he and then after the-tracks went of-the-goddess
ἷξον δὲ σπείους γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ,
they-came and to-the-cave hollow the-goddess and also the-man

καί ῥ' ὁ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη
and then he indeed there sat on the-chair from-which had-risen
Ἑρμείας, νύμφη δ' ἐτίθει πάρα πᾶσαν ἐδωδήν,
Hermes the-nymph and set beside all food
ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
to-eat and to-drink such-as mortal men eat
αὐτὴ δ' ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
she-herself and opposite sat of-Odysseus godlike
τῇ δὲ παρ' ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν.
for-her and beside ambrosia maidservants and nectar set
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
but when they-were-satisfied with-food and drink
τοῖς ἄρα μύθων ἦρχε Καλυψώ, δῖα θεάων·
to-them then of-speeches began Calypso bright of-goddesses
"Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
οὕτω δὴ οἰκόνδε φίλην ἐς πατρίδα γαῖαν
so indeed home dear to native land
αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε καὶ ἔμπης.
at-once now do-you-wish to-go you but farewell even all-the-same
εἴ γε μὲν εἰδείης σῇσι φρεσὶν ὅσσα τοι αἶσα
if indeed indeed you-knew in-your mind how-many to-you fate
κήδε' ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
troubles to-fill-up before native land to-reach

ἐνθάδε κ᾽ αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις
here — on-the-spot staying with me this house you-would-guard
ἀθάνατός τ᾽ εἴης, ἱμειρόμενός περ ἰδέσθαι
immortal and you-would-be longing though to-see
σὴν ἄλοχον, τῆς τ᾽ αἰὲν ἐέλδεαι ἤματα πάντα.
your wife for-whom — always you-yearn days all
οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
not indeed surely than-her indeed worse I-declare-myself to-be
οὐ δέμας οὐδὲ φυήν, ἐπεὶ οὔ πως οὐδὲ ἔοικεν
not in-form nor in-stature since not in-any-way nor is-it-fitting
θνητὰς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν."
mortals with-immortals in-form and looks to-vie
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
"Πότνα θεά, μή μοι τόδε χώεο· οἶδα καὶ αὐτὸς
Queenly goddess not with-me for-this be-angry I-know also myself
πάντα μάλ᾽, οὕνεκα σεῖο περίφρων Πηνελόπεια
all very that than-you wise Penelope
εἶδος ἀκιδνοτέρη μέγεθός τ᾽ εἰσάντα ἰδέσθαι·
in-looks (is)-meaner in-stature and face-to-face to-see
ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ᾽ ἀθάνατος καὶ ἀγήρως.
she indeed for mortal is you and immortal and ageless
ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
but even so I-wish and I-long days all
οἴκαδέ τ᾽ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
home both to-come and of-return the-day to-see
εἰ δ᾽ αὖ τις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
if and in-turn any shall-wreck(-me) of-the-gods on wine-dark sea
τλήσομαι ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν·
I-will-endure in breast having a-patient-in-suffering heart

ἤδη γὰρ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα
already for very much I-suffered and much toiled
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω."
in-waves and in-war among(-them) also this to-them let-be-added
Ὣς ἔφατ', ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθεν· 225
So he-spoke the-sun and then set and on darkness came
ἐλθόντες δ' ἄρα τώ γε μυχῷ σπείους γλαφυροῖο
going and then the-two indeed in-the-inmost-part of-the-cave hollow
τερπέσθην φιλότητι, παρ' ἀλλήλοισι μένοντες.
took-pleasure in-love beside each-other staying

V.4 · THE RAFT

Calypso gives Odysseus an ax and an adze and shows him the tall trees. In four days he fells twenty, builds a raft with deck, mast, yard, and rudder, and she brings cloth for sails. On the fifth day she bathes and clothes him, stocks the raft, and sends a gentle wind. For seventeen days he sails, steering by the stars as she instructed, until the mountains of the Phaeacians appear.

Ἧμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
αὐτίχ' ὁ μὲν χλαίνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς,
at-once he indeed cloak both tunic and put-on Odysseus
αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη, 230
she-herself and silvery robe great put-on the-nymph
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ
fine and graceful around and a-girdle she-threw at-the-waist
καλὴν χρυσείην, κεφαλῇ δ' ἐφύπερθε καλύπτρην.
fair golden on-head and above a-veil
καὶ τότ' Ὀδυσσῆι μεγαλήτορι μήδετο πομπήν·
and then for-Odysseus great-hearted she-devised sending

δῶκέν οἱ πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσι,
she-gave him an-ax great fitted in hands
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· αὐτὰρ ἐν αὐτῷ
of-bronze on-both-sides sharpened but in it
στειλειὸν περικαλλὲς ἐλάινον, εὖ ἐναρηρός·
a-handle very-fair of-olive-wood well fitted
δῶκε δ' ἔπειτα σκέπαρνον ἐύξοον· ἦρχε δ' ὁδοῖο
she-gave and then an-adze well-polished led and the-way
νήσου ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
of-the-island to the-border where trees tall grew
κλήθρη τ' αἴγειρός τ', ἐλάτη τ' ἦν οὐρανομήκης,
alder both poplar and fir and was heaven-high
αὖα πάλαι, περίκηλα, τά οἱ πλώοιεν ἐλαφρῶς.
dry long-since very-seasoned which for-him might-float lightly
αὐτὰρ ἐπεὶ δὴ δεῖξ', ὅθι δένδρεα μακρὰ πεφύκει,
but when indeed she-showed where trees tall grew
ἡ μὲν ἔβη πρὸς δῶμα Καλυψώ, δῖα θεάων,
she indeed went to the-house Calypso bright of-goddesses
αὐτὰρ ὁ τάμνετο δοῦρα· θοῶς δέ οἱ ἤνυτο ἔργον.
but he was-cutting beams swiftly and for-him was-accomplished the-work
εἴκοσι δ' ἔκβαλε πάντα, πελέκκησεν δ' ἄρα χαλκῷ,
twenty and he-felled all hewed and then with-bronze
ξέσσε δ' ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν.
smoothed and skillfully and to the-line made-straight
τόφρα δ' ἔνεικε τέρετρα Καλυψώ, δῖα θεάων·
meanwhile and brought augers Calypso bright of-goddesses
τέτρηνεν δ' ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοισιν,
he-bored and then all and fitted to-each-other
γόμφοισιν δ' ἄρα τήν γε καὶ ἁρμονίῃσιν ἄρασσεν.
with-pegs and then it indeed and with-joinings he-hammered

ὅσσον τίς τ᾽ ἔδαφος νηὸς τορνώσεται ἀνὴρ
as-wide-as any — the-hull of-a-ship rounds-out a-man
φορτίδος εὐρείης, ἐὺ εἰδὼς τεκτοσυνάων,
of-a-freighter broad well knowing of-carpentry
τόσσον ἔπ᾽ εὐρεῖαν σχεδίην ποιήσατ᾽ Ὀδυσσεύς.
so-wide over broad raft made Odysseus
ἴκρια δὲ στήσας, ἀραρὼν θαμέσι σταμίνεσσι,
decking and setting-up fitting(-it) with-close ribs
ποίει· ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα.
he-made but with-long gunwales he-finished(-it)
ἐν δ᾽ ἱστὸν ποίει καὶ ἐπίκριον ἄρμενον αὐτῷ·
in and a-mast he-made and a-yard fitted to-it
πρὸς δ᾽ ἄρα πηδάλιον ποιήσατο, ὄφρ᾽ ἰθύνοι.
to and then a-steering-oar he-made so-that he-might-steer
φράξε δέ μιν ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσι
fenced and it with-wickerwork throughout of-willow
κύματος εἶλαρ ἔμεν· πολλὴν δ᾽ ἐπεχεύατο ὕλην.
of-the-wave a-defense to-be much and he-heaped-on brushwood
τόφρα δὲ φάρε᾽ ἔνεικε Καλυψώ, δῖα θεάων,
meanwhile and cloths brought Calypso bright of-goddesses
ἱστία ποιήσασθαι· ὁ δ᾽ εὖ τεχνήσατο καὶ τά.
sails to-make he and well fashioned also them
ἐν δ᾽ ὑπέρας τε κάλους τε πόδας τ᾽ ἐνέδησεν ἐν αὐτῇ,
in and braces both ropes and sheets and he-bound in it
μοχλοῖσιν δ᾽ ἄρα τήγε κατείρυσεν εἰς ἅλα δῖαν.
with-levers and then it indeed he-drew-down into the-sea bright
Τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα·
Fourth day it-was and on-it had-been-finished all
τῷ δ᾽ ἄρα πέμπτῳ πέμπ᾽ ἀπὸ νήσου δῖα Καλυψώ,
on-the and then fifth sent(-him) from the-island bright Calypso

εἵματά τ᾽ ἀμφιέσασα θυώδεα καὶ λούσασα.
clothes both having-put-on(-him) fragrant and having-bathed(-him)
ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο
in and for-him a-skin put the-goddess of-black wine
τὸν ἕτερον, ἕτερον δ᾽ ὕδατος μέγαν, ἐν δὲ καὶ ᾖα
the one other and of-water great in and also provisions
κωρύκῳ· ἐν δέ οἱ ὄψα τίθει μενοεικέα πολλά·
a-bag in and for-him dainties put satisfying many
οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.
fair-wind and she-sent-forth harmless both warm and
γηθόσυνος δ᾽ οὔρῳ πέτασ᾽ ἱστία δῖος Ὀδυσσεύς.
rejoicing and in-the-fair-wind spread sails noble Odysseus
αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως
but he with-the-steering-oar steered skillfully
ἥμενος, οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν
sitting nor for-him sleep on eyelids fell
Πληιάδας τ᾽ ἐσορῶντι καὶ ὀψὲ δύοντα Βοώτην
the-Pleiades both watching and late setting Boötes
Ἄρκτον θ᾽, ἣν καὶ Ἅμαξαν ἐπίκλησιν καλέουσιν,
the-Bear and which also Wain by-name they-call
ἥ τ᾽ αὐτοῦ στρέφεται καί τ᾽ Ὠρίωνα δοκεύει,
which — there turns and — Orion watches
οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο·
alone and without-share is of-the-baths of-Ocean
τὴν γὰρ δή μιν ἄνωγε Καλυψώ, δῖα θεάων,
it for indeed him bade Calypso bright of-goddesses
ποντοπορευέμεναι ἐπ᾽ ἀριστερὰ χειρὸς ἔχοντα.
to-sail-the-sea on left of-hand keeping
ἑπτὰ δὲ καὶ δέκα μὲν πλέεν ἤματα ποντοπορεύων,
seven and and ten indeed he-sailed days crossing-the-sea

ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
on-the-eighteenth and appeared the-mountains shadowy
γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον πέλεν αὐτῷ·
of-the-land of-the-Phaeacians where — nearest was to-him
εἴσατο δ' ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέι πόντῳ.
it-appeared and as when a-shield in the-misty sea

V.5 · POSEIDON'S STORM

Poseidon, returning from the Ethiopians, sees Odysseus and raises a storm with all the winds. Odysseus wishes he had died at Troy. A wave throws him from the raft, and the gale snaps the mast. The sea goddess Ino Leucothea pities him, gives him her immortal veil, and tells him to abandon the raft and swim. When a wave breaks the raft apart he strips, binds on the veil, and swims; Poseidon leaves him, and Athena calms every wind but Boreas.

Τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν κρείων ἐνοσίχθων
Him and from the-Ethiopians coming-back the-lord earth-shaker
τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ
from-afar from of-the-Solymi the-mountains saw appeared for to-him
πόντον ἐπιπλώων. ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον,
the-sea sailing-over he and was-angered in-heart more
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
shaking and (his)-head to his-own spoke heart
" Ὤ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
Oh for-shame truly very indeed have-changed-their-plans the-gods otherwise
ἀμφ' Ὀδυσῆι ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος,
about Odysseus me among the-Ethiopians being

καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
and indeed of-the-Phaeacians land near where for-him fate
ἐκφυγέειν μέγα πεῖραρ ὀιζύος, ἥ μιν ἱκάνει.
to-escape the-great end of-misery which him comes-to
ἀλλ᾽ ἔτι μέν μίν φημι ἄδην ἐλάαν κακότητος.᾽᾽
but still indeed him I-say enough to-drive of-misery
Ὣς εἰπὼν σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον
So having-spoken he-gathered clouds stirred-up and the-sea
χερσὶ τρίαιναν ἑλών· πάσας δ᾽ ὀρόθυνεν ἀέλλας
in-hands the-trident taking all and roused the-blasts
παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψε
of-all-kinds-of winds with and clouds covered
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ.
earth together and sea arose and from-heaven night
σὺν δ᾽ Εὖρός τε Νότος τ᾽ ἔπεσον Ζέφυρός τε δυσαὴς
together and Eurus both Notus and fell Zephyrus and ill-blowing
καὶ Βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
and Boreas born-in-clear-sky great wave rolling
καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
and then of-Odysseus were-loosed the-knees and dear heart
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-spoke to his-own great-hearted heart
“ Ὤ μοι ἐγὼ δειλός, τί νύ μοι μήκιστα γένηται;
Ah me I wretched what now to-me in-the-end will-happen
δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
I-fear lest indeed all the-goddess truly spoke
ἥ μ᾽ ἔφατ᾽ ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
who me said on the-sea before native land to-reach
ἄλγε᾽ ἀναπλήσειν· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
pains to-fill-up these-things and indeed now all are-being-fulfilled

οἵοισιν νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
with-such clouds wreathes heaven broad
Ζεύς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ' ἄελλαι
Zeus stirred-up and the-sea rush-on and the-blasts
παντοίων ἀνέμων. νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
of-all-kinds-of winds now for-me sure sheer destruction
τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο
thrice blessed the-Danaans and four-times who then perished
Τροίῃ ἐν εὐρείῃ χάριν Ἀτρεΐδῃσι φέροντες.
Troy in broad favor to-the-sons-of-Atreus bringing
ὡς δὴ ἐγώ γ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
would indeed I indeed ought to-have-died and fate to-have-met
ἤματι τῷ ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
on-day that when at-me most bronze-tipped spears
Τρῶες ἐπέρριψαν περὶ Πηλεΐωνι θανόντι.
the-Trojans hurled about the-son-of-Peleus dead
τῷ κ' ἔλαχον κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί·
then — I-would-have-got funeral-rites and my fame would-have-carried the-Achaeans
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι."
now but me by-a-wretched death it-was-fated to-be-caught
Ὣς ἄρα μιν εἰπόντ' ἔλασεν μέγα κῦμα κατ' ἄκρης
So then him having-spoken drove a-great wave from on-high
δεινὸν ἐπεσσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξε.
dread rushing round and the-raft whirled
τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
far and from the-raft himself fell the-steering-oar and
ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἱστὸν ἔαξεν
from hands he-let-go middle and his mast broke
δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα,
dread of-mingling winds coming the-storm

τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ.
far and sail and yard fell-into the-sea
τὸν δ' ἄρ' ὑπόβρυχα θῆκε πολὺν χρόνον, οὐδ' ἐδυνάσθη
him and then under-water it-held much time nor was-he-able
αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς·
quickly very to-rise of-the-great under wave the-rush
εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ.
the-clothes for then weighed-down which him gave bright Calypso
ὀψὲ δὲ δή ῥ' ἀνέδυ, στόματος δ' ἐξέπτυσεν ἅλμην
late and indeed then he-came-up from-the-mouth and he-spat-out brine
πικρήν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν.
bitter which from-him much from head gushed
ἀλλ' οὐδ' ὣς σχεδίης ἐπελήθετο, τειρόμενός περ,
but not-even so the-raft did-he-forget being-worn-out though
ἀλλὰ μεθορμηθεὶς ἐνὶ κύμασιν ἐλλάβετ' αὐτῆς,
but rushing-after among the-waves he-seized it
ἐν μέσσῃ δὲ καθῖζε τέλος θανάτου ἀλεείνων.
in the-middle and he-sat the-end of-death avoiding
τὴν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
it and bore the-great wave along the-current this-way and that-way
ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
as and when autumnal Boreas carries thistles
ἆμ πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται,
over the-plain thick and to each-other hold
ὣς τὴν ἆμ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα·
so it over the-open-sea the-winds bore this-way and that-way
ἄλλοτε μέν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
at-times indeed — Notus to-Boreas would-throw(-it) to-be-carried
ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
at-times and in-turn Eurus to-Zephyrus would-yield(-it) to-chase

Τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Him and saw of-Cadmus the-daughter fair-ankled Ino
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
Leucothea who before indeed was a-mortal speaking-with-voice
νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἓξ ἔμμορε τιμῆς.
now and of-the-sea in the-deeps of-the-gods from has-won-a-share of-honor
ἥ ῥ' Ὀδυσῆ' ἐλέησεν ἀλώμενον, ἄλγε' ἔχοντα,
she then Odysseus pitied wandering pains having
αἰθυίῃ δ' ἐικυῖα ποτῇ ἀνεδύσετο λίμνης,
to-a-sea-bird and like in-flight she-rose from-the-water
ἷζε δ' ἐπὶ σχεδίης πολυδέσμου εἶπέ τε μῦθον·
sat and on the-raft many-bound spoke and word
"Κάμμορε, τίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
Ill-fated why you thus Poseidon earth-shaker
ὠδύσατ' ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
is-angry terribly that for-you evils many he-plants
οὐ μὲν δή σε καταφθίσει μάλα περ μενεαίνων.
not indeed truly you he-will-destroy very though raging
ἀλλὰ μάλ' ὧδ' ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
but very thus do you-seem and to-me not to-be-witless
εἵματα ταῦτ' ἀποδὺς σχεδίην ἀνέμοισι φέρεσθαι
clothes these having-taken-off the-raft to-the-winds to-be-carried
κάλλιπ', ἀτὰρ χείρεσσι νέων ἐπιμαίεο νόστου
leave but with-hands swimming strive-for return
γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
to-the-land of-the-Phaeacians where for-you fate is to-escape
τῇ δέ, τόδε κρήδεμνον ὑπὸ στέρνοιο τανύσσαι
here and this veil under the-chest stretch
ἄμβροτον· οὐδέ τί τοι παθέειν δέος οὐδ' ἀπολέσθαι.
immortal nor at-all for-you to-suffer fear nor to-perish

αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
but when with-hands you-touch the-mainland
ἂψ ἀπολυσάμενος βαλέειν εἰς οἶνοπα πόντον
back having-loosed(-it) to-throw into wine-dark sea
πολλὸν ἀπ᾽ ἠπείρου, αὐτὸς δ᾽ ἀπονόσφι τραπέσθαι.᾽᾽
far from the-mainland yourself and apart turn
Ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
So then having-spoken the-goddess the-veil gave
αὐτὴ δ᾽ ἂψ ἐς πόντον ἐδύσετο κυμαίνοντα
she-herself and back into the-sea plunged billowing
αἰθυίῃ ἐικυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
to-a-sea-bird like black and her wave covered
αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
but he pondered much-enduring noble Odysseus
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-spoke to his-own great-hearted heart
“᾽Ω μοι ἐγώ, μή τίς μοι ὑφαίνῃσιν δόλον αὖτε
Ah me I lest any for-me weave a-trick again
ἀθανάτων, ὅ τέ με σχεδίης ἀποβῆναι ἀνώγει.
of-the-immortals who — me from-the-raft to-step-off bids
ἀλλὰ μάλ᾽ οὔ πω πείσομ᾽, ἐπεὶ ἑκὰς ὀφθαλμοῖσιν
but very not yet I-will-obey since far-off with-eyes
γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι φάτο φύξιμον εἶναι.
the-land I saw where to-me she-said a-refuge to-be
ἀλλὰ μάλ᾽ ὧδ᾽ ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον·
but very thus I-will-do seems and to-me to-be best
ὄφρ᾽ ἂν μέν κεν δούρατ᾽ ἐν ἁρμονίῃσιν ἀρήρῃ,
as-long-as — indeed — the-beams in joinings hold-fast
τόφρ᾽ αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων·
so-long there I-will-stay and endure pains suffering

αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ,
but when indeed for-me the-raft through the-wave shakes(-apart)
νήξομ', ἐπεὶ οὐ μέν τι πάρα προνοῆσαι ἄμεινον."
I-will-swim since not indeed at-all at-hand to-devise better
Ὣς ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
While he these-things pondered in mind and in heart
ὦρσε δ' ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
roused and on great wave Poseidon earth-shaker
δεινόν τ' ἀργαλέον τε, κατηρεφές, ἤλασε δ' αὐτόν.
dread both grievous and arching-over drove and him
ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξῃ
as and wind strong of-chaff a-heap shakes
καρφαλέων· τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλῃ·
of-dry these indeed then — scatters this-way that-way
ὣς τῆς δούρατα μακρὰ διεσκέδασ'. αὐτὰρ Ὀδυσσεὺς
so of-it the-beams long it-scattered but Odysseus
ἀμφ' ἑνὶ δούρατι βαῖνε, κέληθ' ὡς ἵππον ἐλαύνων,
around one beam bestrode a-racer as horse riding
εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
the-clothes and stripped-off which him gave bright Calypso
αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν,
at-once and the-veil under the-chest stretched
αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε, χεῖρε πετάσσας,
himself and headlong into-the-sea fell hands spreading
νηχέμεναι μεμαώς. ἴδε δὲ κρείων ἐνοσίχθων,
to-swim eager saw and the-lord earth-shaker
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
shaking and (his)-head to his-own spoke heart

"Οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
So now evils many having-suffered wander through the-sea
εἰς ὅ κεν ἀνθρώποισι διοτρεφέεσσι μιγήῃς.
until (the-time)-when — men Zeus-nurtured you-mingle-with
ἀλλ' οὐδ' ὥς σε ἔολπα ὀνόσσεσθαι κακότητος."
but not-even so you do-I-think will-make-light of-misery
Ὣς ἄρα φωνήσας ἴμασεν καλλίτριχας ἵππους,
So then having-spoken he-lashed fair-maned horses
ἵκετο δ' εἰς Αἰγάς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν.
came and to Aegae where his famous house is
Αὐτὰρ Ἀθηναίη κούρη Διὸς ἄλλ' ἐνόησεν.
But Athena daughter of-Zeus another-thing thought
ἦ τοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους,
truly indeed of-the other winds she-bound the-paths
παύσασθαι δ' ἐκέλευσε καὶ εὐνηθῆναι ἅπαντας·
to-cease and she-bade and to-sleep all
ὦρσε δ' ἐπὶ κραιπνὸν Βορέην, πρὸ δὲ κύματ' ἔαξεν,
roused and on swift Boreas before and the-waves broke
ἦος ὃ Φαιήκεσσι φιληρέτμοισι μιγείη
until he with-the-Phaeacians oar-loving should-mingle
διογενὴς Ὀδυσεὺς θάνατον καὶ κῆρας ἀλύξας.
Zeus-born Odysseus death and dooms having-escaped

For two days and nights Odysseus drifts. On the third day he sees land, but the coast is all reefs and cliffs. A wave dashes him against a rock, which tears the skin from his hands, and Athena gives him the thought to swim along the shore. He finds a river mouth, prays to the river god, who calms his stream, and crawls ashore. He throws the veil back into the river and sleeps in a heap of leaves under two olive bushes.

Ἔνθα δύω νύκτας δύο τ' ἤματα κύματι πηγῷ
Then two nights two and days in-the-wave swelling
πλάζετο, πολλὰ δέ οἱ κραδίη προτιόσσετ' ὄλεθρον.
he-wandered much and his heart foresaw destruction
ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ' Ἠώς,
but when indeed the-third day fair-tressed accomplished Dawn
καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη
and then thereafter the-wind indeed ceased and calm
ἔπλετο νηνεμίη· ὁ δ' ἄρα σχεδὸν εἴσιδε γαῖαν
was windless he and then near saw land
ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς.
sharply very looking-forward great under wave raised
ὡς δ' ὅτ' ἂν ἀσπάσιος βίοτος παίδεσσι φανήῃ
as and when — welcome life to-children appears
πατρός, ὃς ἐν νούσῳ κῆται κρατέρ' ἄλγεα πάσχων,
of-a-father who in sickness lies mighty pains suffering
δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
long wasting hateful and him assailed a-god
ἀσπάσιον δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν,
welcome and then him indeed the-gods from-misery released
ὡς Ὀδυσεῖ ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη,
so to-Odysseus welcome appeared land and wood

νῆχε δ' ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι.
he-swam and hastening with-feet the-land to-set-foot-on
ἀλλ' ὅτε τόσσον ἀπῆν ὅσσον τε γέγωνε βοήσας,
but when so-far he-was-off as-far-as — one-makes-heard shouting
καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσσι θαλάσσης·
and indeed the-thud he-heard against the-reefs of-the-sea
ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
roared for great wave against the-dry-land of-the-mainland
δεινὸν ἐρευγόμενον, εἵλυτο δὲ πάνθ' ἁλὸς ἄχνῃ·
dread belching was-wrapped and all of-the-sea in-foam
οὐ γὰρ ἔσαν λιμένες νηῶν ὄχοι, οὐδ' ἐπιωγαί,
not for were harbors of-ships holders nor roadsteads
ἀλλ' ἀκταὶ προβλῆτες ἔσαν σπιλάδες τε πάγοι τε·
but headlands jutting were reefs both crags and
καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
and then of-Odysseus were-loosed the-knees and dear heart
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-spoke to his-own great-hearted heart
" Ὤ μοι, ἐπεὶ δὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι
Ah me since indeed land beyond-hope gave to-see
Ζεύς, καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐπέρησα,
Zeus and indeed this gulf cleaving I-have-crossed
ἔκβασις οὔ πη φαίνεθ' ἁλὸς πολιοῖο θύραζε·
a-way-out not anywhere appears from-the-sea gray outward
ἔκτοσθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
outside indeed for crags sharp around and the-wave
βέβρυχεν ῥόθιον, λισσὴ δ' ἀναδέδρομε πέτρη,
roars surging smooth and runs-up the-rock

ἀγχιβαθὴς δὲ θάλασσα, καὶ οὔ πως ἔστι πόδεσσι
near-deep and the-sea and not in-any-way is-it-possible with-feet
στήμεναι ἀμφοτέροισι καὶ ἐκφυγέειν κακότητα·
to-stand both and to-escape misery
μή πώς μ' ἐκβαίνοντα βάλῃ λίθακι ποτὶ πέτρῃ
lest somehow me stepping-out may-dash rocky against the-cliff
κῦμα μέγ' ἁρπάξαν· μελέη δέ μοι ἔσσεται ὁρμή.
wave great having-snatched(-me) vain and for-me will-be the-effort
εἰ δέ κ' ἔτι προτέρω παρανήξομαι, ἤν που ἐφεύρω
if and — still further I-swim-along if somehow I-find
ἠιόνας τε παραπλῆγας λιμένας τε θαλάσσης,
beaches both sloping harbors and of-the-sea
δείδω μή μ' ἐξαῦτις ἀναρπάξασα θύελλα
I-fear lest me again snatching-up a-storm
πόντον ἐπ' ἰχθυόεντα φέρῃ βαρέα στενάχοντα,
the-sea over fish-filled may-bear heavily groaning
ἠέ τί μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων
or any to-me also a-monster may-send great a-god
ἐξ ἁλός, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρίτη·
out-of the-sea such-as — many breeds famous Amphitrite
οἶδα γάρ, ὥς μοι ὀδώδυσται κλυτὸς ἐννοσίγαιος."
I-know for how at-me is-angry the-famous earth-shaker
Ὣς ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
While he these-things pondered in mind and in heart
τόφρα δέ μιν μέγα κῦμα φέρε τρηχεῖαν ἐπ' ἀκτήν.
so-long and him great wave carried rugged to shore
ἔνθα κ' ἀπὸ ῥινοὺς δρύφθη, σὺν δ' ὀστέ' ἀράχθη,
there — off skin he-would-have-been-stripped together and bones crushed
εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεά, γλαυκῶπις Ἀθήνη·
if not in mind put the-goddess flashing-eyed Athena

ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης,
with-both and hands rushing-on he-seized the-rock
τῆς ἔχετο στενάχων, ἧος μέγα κῦμα παρῆλθε.
it he-held groaning until great wave went-past
καὶ τὸ μὲν ὣς ὑπάλυξε, παλιρρόθιον δέ μιν αὖτις
and it indeed thus he-escaped flowing-back and him again
πλῆξεν ἐπεσσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
struck rushing-on far and him cast into-the-sea
ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο
as and when of-an-octopus from-its-hole being-drawn-out
πρὸς κοτυληδονόφιν πυκιναὶ λάιγγες ἔχονται,
to the-suckers thick pebbles cling
ὣς τοῦ πρὸς πέτρῃσι θρασειάων ἀπὸ χειρῶν
so of-him against the-rocks of-the-bold from hands
ῥινοὶ ἀπέδρυφθεν· τὸν δὲ μέγα κῦμα κάλυψεν.
the-skin was-stripped him and great wave covered
ἔνθα κε δὴ δύστηνος ὑπὲρ μόρον ὤλετ' Ὀδυσσεύς,
there — indeed wretched beyond fate would-have-perished Odysseus
εἰ μὴ ἐπιφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη.
if not presence-of-mind gave flashing-eyed Athena
κύματος ἐξαναδύς, τά τ' ἐρεύγεται ἤπειρόνδε,
from-the-wave emerging which — belches to-the-land
νῆχε παρέξ, ἐς γαῖαν ὁρώμενος, εἴ που ἐφεύροι
he-swam outside toward the-land looking if somehow he-might-find
ἠιόνας τε παραπλῆγας λιμένας τε θαλάσσης.
beaches both sloping harbors and of-the-sea
ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
but when indeed of-a-river to the-mouth fair-flowing
ἶξε νέων, τῇ δή οἱ ἐείσατο χῶρος ἄριστος,
he-came swimming there indeed to-him seemed the-place best

λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο,
smooth of-rocks and on shelter there-was from-the-wind
ἔγνω δὲ προρέοντα καὶ εὔξατο ὃν κατὰ θυμόν·
he-knew and (him)-flowing-forth and prayed his-own in heart
"Κλῦθι, ἄναξ, ὅτις ἐσσί· πολύλλιστον δέ σ' ἱκάνω,
Hear lord whoever you-are much-prayed-to and you I-come-to
φεύγων ἐκ πόντοιο Ποσειδάωνος ἐνιπάς.
fleeing from the-sea of-Poseidon the-threats
αἰδοῖος μέν τ' ἐστὶ καὶ ἀθανάτοισι θεοῖσιν
revered indeed — is even to-immortal gods
ἀνδρῶν ὅς τις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν
of-men who any comes wandering as also I now
σόν τε ῥόον σά τε γούναθ' ἱκάνω πολλὰ μογήσας.
your both stream your and knees I-come-to much having-toiled
ἀλλ' ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι."
but pity lord a-suppliant and to-you I-declare-myself to-be
Ὣς φάθ', ὁ δ' αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα,
So he-spoke he and at-once stopped his-own current held and the-wave
πρόσθε δέ οἱ ποίησε γαλήνην, τὸν δ' ἐσάωσεν
before and for-him made calm him and saved
ἐς ποταμοῦ προχοάς. ὁ δ' ἄρ' ἄμφω γούνατ' ἔκαμψε
into of-the-river the-mouth he and then both knees bent
χεῖράς τε στιβαράς· ἁλὶ γὰρ δέδμητο φίλον κῆρ.
hands both stout by-the-sea for was-subdued dear heart
ᾠδεε δὲ χρόα πάντα, θάλασσα δὲ κήκιε πολλὴ
was-swollen and the-flesh all the-sea and gushed much
ἂν στόμα τε ῥῖνάς θ'· ὁ δ' ἄρ' ἄπνευστος καὶ ἄναυδος
up mouth both nostrils and he and then breathless and voiceless
κεῖτ' ὀλιγηπελέων, κάματος δέ μιν αἰνὸς ἵκανεν.
lay with-little-strength weariness and him terrible came-upon

ἀλλ᾽ ὅτε δή ῥ᾽ ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
but when indeed then he-regained-breath and into mind spirit was-gathered
καὶ τότε δὴ κρήδεμνον ἀπὸ ἕο λῦσε θεοῖο.
and then indeed the-veil from himself loosed of-the-goddess
καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυρήεντα μεθῆκεν,
and it indeed into the-river flowing-into-the-sea he-let-go
ἂψ δ᾽ ἔφερεν μέγα κῦμα κατὰ ῥόον, αἶψα δ᾽ ἄρ᾽ Ἰνὼ
back and bore great wave along the-current quickly and then Ino
δέξατο χερσὶ φίλῃσιν· ὁ δ᾽ ἐκ ποταμοῖο λιασθεὶς
received(-it) in-hands dear he and from the-river turning-aside
σχοίνῳ ὑπεκλίνθη, κύσε δὲ ζείδωρον ἄρουραν.
in-the-rushes lay-down kissed and the-grain-giving earth
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
vexed and then he-spoke to his-own great-hearted heart
“ Ὤ μοι ἐγώ, τί πάθω; τί νύ μοι μήκιστα γένηται;
Ah me I what am-I-to-suffer what now to-me in-the-end will-happen
εἰ μέν κ᾽ ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάσσω,
if indeed — in the-river the-weary night I-watch
μή μ᾽ ἄμυδις στίβη τε κακὴ καὶ θῆλυς ἐέρση
lest me together frost both evil and fresh dew
ἐξ ὀλιγηπελίης δαμάσῃ κεκαφηότα θυμόν·
from weakness may-subdue gasping heart
αὔρη δ᾽ ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό.
the-breeze and from the-river cold blows at-dawn before

εἰ δέ κεν ἐς κλιτὺν ἀναβὰς καὶ δάσκιον ὕλην
if and — to the-slope going-up and shady wood
θάμνοις ἐν πυκινοῖσι καταδράθω, εἴ με μεθείη
thickets in dense I-lie-down-to-sleep if me should-let-go
ῥῖγος καὶ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθῃ,
the-cold and weariness sweet and for-me sleep should-come
δείδω, μὴ θήρεσσιν ἕλωρ καὶ κύρμα γένωμαι."
I-fear lest to-beasts a-prey and spoil I-become
Ὣς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
So then to-him thinking seemed more-profitable to-be
βῆ ῥ' ἴμεν εἰς ὕλην· τὴν δὲ σχεδὸν ὕδατος εὗρεν
went then to-go into the-wood it and near the-water he-found
ἐν περιφαινομένῳ· δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους,
in a-clearing two and then he-crept-under bushes
ἐξ ὁμόθεν πεφυῶτας· ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης.
from the-same-place grown the-one indeed of-wild-olive the-other and of-olive
τοὺς μὲν ἄρ' οὔτ' ἀνέμων διάη μένος ὑγρὸν ἀέντων,
them indeed then neither of-winds blew-through the-strength moist blowing
οὔτε ποτ' ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
nor ever the-sun shining with-rays struck
οὔτ' ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνοὶ
nor rain passed through so then thick
ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· οὓς ὑπ' Ὀδυσσεὺς
with-each-other they-grew intertwined which under Odysseus
δύσετ'. ἄφαρ δ' εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν
crept straightway and a-bed heaped-up with-hands dear
εὐρεῖαν· φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,
broad of-leaves for was a-heap exceedingly much

ὅσσον τ᾽ ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι
as-much-as — either two or three men to-shelter
ὥρῃ χειμερίῃ, εἰ καὶ μάλα περ χαλεπαίνοι.
in-season wintry if even very indeed it-should-rage
τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς,
it indeed seeing rejoiced much-enduring noble Odysseus
ἐν δ᾽ ἄρα μέσσῃ λέκτο, χύσιν δ᾽ ἐπεχεύατο φύλλων.
in and then the-middle lay heap and he-poured-over of-leaves
ὡς δ᾽ ὅτε τις δαλὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ
as and when one a-brand in-embers hides black
ἀγροῦ ἐπ᾽ ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι,
of-a-field at the-border to-whom not at-hand neighbors other
σπέρμα πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὖοι,
the-seed of-fire saving so-that not from-somewhere elsewhere he-might-kindle
ὣς Ὀδυσεὺς φύλλοισι καλύψατο· τῷ δ᾽ ἄρ᾽ Ἀθήνη
so Odysseus with-leaves covered-himself on-him and then Athena
ὕπνον ἐπ᾽ ὄμμασι χεῦ᾽, ἵνα μιν παύσειε τάχιστα
sleep upon eyes poured so-that him she-might-stop most-quickly
δυσπονέος καμάτοιο φίλα βλέφαρ᾽ ἀμφικαλύψας.
from-toilsome weariness the-dear eyelids covering

BOOK VI

VI.1 · ATHENA VISITS NAUSICAA

Athena goes to the city of the Phaeacians, whom Nausithous once led away from the Cyclopes to Scheria. In the likeness of a friend of Nausicaa, Alcinous' daughter, she appears to her in a dream. She scolds her for leaving the fine clothes unwashed when her marriage is near, and tells her to ask her father for a wagon and go to the washing places at dawn. Then she returns to Olympus.

Ὣς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς
So he indeed there slept much-enduring noble Odysseus
ὕπνῳ καὶ καμάτῳ ἀρημένος· αὐτὰρ Ἀθήνη
by-sleep and by-weariness overcome but Athena
βῆ ῥ' ἐς Φαιήκων ἀνδρῶν δῆμόν τε πόλιν τε,
went then to of-the-Phaeacian men the-land both city and
οἳ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ,
who before indeed once dwelt in spacious Hypereia
ἀγχοῦ Κυκλώπων ἀνδρῶν ὑπερηνορεόντων,
near the-Cyclopes men overbearing
οἵ σφεας σινέσκοντο, βίηφι δὲ φέρτεροι ἦσαν.
who them used-to-plunder in-strength and stronger were
ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδής,
thence having-removed(-them) led Nausithous godlike
εἷσεν δὲ Σχερίῃ, ἑκὰς ἀνδρῶν ἀλφηστάων,
settled(-them) and in-Scheria far-from men toiling
ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει, καὶ ἐδείματο οἴκους,
around and a-wall he-drove for-the-city and built houses
καὶ νηοὺς ποίησε θεῶν, καὶ ἐδάσσατ' ἀρούρας.
and temples made of-the-gods and divided fields

ἀλλ᾽ ὁ μὲν ἤδη κηρὶ δαμεὶς Ἀιδόσδε βεβήκει,
but he indeed already by-fate subdued to-Hades had-gone
Ἀλκίνοος δὲ τότ᾽ ἦρχε, θεῶν ἄπο μήδεα εἰδώς.
Alcinous and then ruled the-gods from counsels knowing
τοῦ μὲν ἔβη πρὸς δῶμα θεά, γλαυκῶπις Ἀθήνη,
his indeed went to house the-goddess flashing-eyed Athena
νόστον Ὀδυσσῆι μεγαλήτορι μητιόωσα.
return for-Odysseus great-hearted devising
βῆ δ᾽ ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἔνι κούρη
went and to-go to the-chamber richly-wrought which in a-maiden
κοιμᾶτ᾽ ἀθανάτῃσι φυὴν καὶ εἶδος ὁμοίη,
slept to-immortals in-stature and form like
Ναυσικάα, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
Nausicaa daughter of-great-hearted Alcinous
πὰρ δὲ δύ᾽ ἀμφίπολοι, Χαρίτων ἄπο κάλλος ἔχουσαι,
beside and two handmaids the-Graces from beauty having
σταθμοῖιν ἑκάτερθε· θύραι δ᾽ ἐπέκειντο φαειναί.
by-the-doorposts on-either-side the-doors and were-shut shining
Ἡ δ᾽ ἀνέμου ὡς πνοιὴ ἐπέσσυτο δέμνια κούρης,
She and of-wind like a-breath rushed to-the-bed of-the-maiden
στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν,
stood and then over (her)-head and her to speech said
εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος,
likened to-the-daughter of-ship-famed Dymas
ἥ οἱ ὁμηλικίη μὲν ἔην, κεχάριστο δὲ θυμῷ.
who to-her of-the-same-age indeed was was-dear and to-heart
τῇ μιν ἐεισαμένη προσέφη γλαυκῶπις Ἀθήνη·
to-her her likening addressed flashing-eyed Athena

“Ναυσικάα, τί νύ σ’ ὧδε μεθήμονα γείνατο μήτηρ;
Nausicaa why now you so careless bore mother
εἵματα μέν τοι κεῖται ἀκηδέα σιγαλόεντα,
clothes indeed your lie uncared-for glittering
σοὶ δὲ γάμος σχεδόν ἐστιν, ἵνα χρὴ καλὰ μὲν αὐτὴν
for-you and marriage near is where it-is-needful fair indeed yourself
ἔννυσθαι, τὰ δὲ τοῖσι παρασχεῖν, οἵ κέ σ’ ἄγωνται.
to-wear these and to-those to-provide who — you lead-home
ἐκ γάρ τοι τούτων φάτις ἀνθρώπους ἀναβαίνει
from for you-know these report among-men goes-up
ἐσθλή, χαίρουσιν δὲ πατὴρ καὶ πότνια μήτηρ.
good rejoice and father and queenly mother
ἀλλ’ ἴομεν πλυνέουσαι ἅμ’ ἠοῖ φαινομένηφι·
but let-us-go to-wash with dawn appearing
καί τοι ἐγὼ συνέριθος ἅμ’ ἕψομαι, ὄφρα τάχιστα
and you-know I a-fellow-worker with(-you) will-follow so-that most-quickly
ἐντύνεαι, ἐπεὶ οὔ τοι ἔτι δὴν παρθένος ἔσσεαι·
you-may-get-ready since not you-know longer long a-maiden you-will-be
ἤδη γάρ σε μνῶνται ἀριστῆες κατὰ δῆμον
already for you woo the-best-men throughout the-land
πάντων Φαιήκων, ὅθι τοι γένος ἐστὶ καὶ αὐτῇ.
of-all Phaeacians where to-you race is also yourself
ἀλλ’ ἄγ’ ἐπότρυνον πατέρα κλυτὸν ἠῶθι πρὸ
but come urge father famous at-dawn before
ἡμιόνους καὶ ἅμαξαν ἐφοπλίσαι, ἥ κεν ἄγῃσι
mules and a-wagon to-make-ready which — may-carry
ζῶστρά τε καὶ πέπλους καὶ ῥήγεα σιγαλόεντα.
the-girdles both and robes and blankets glittering

καὶ δὲ σοὶ ὧδ' αὐτῇ πολὺ κάλλιον ἠὲ πόδεσσιν
and also for-you thus yourself much better than on-foot
ἔρχεσθαι· πολλὸν γὰρ ἀπὸ πλυνοί εἰσι πόληος."
to-go far for off the-washing-places are from-the-city
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη
She indeed then so having-spoken departed flashing-eyed Athena
Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
to-Olympus where they-say of-the-gods the-seat safe always
ἔμμεναι. οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
to-be neither by-winds is-it-shaken nor ever by-rain
δεύεται οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη
wetted nor snow approaches but very clear-sky
πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη·
is-spread cloudless white and runs-over a-radiance
τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα.
which in delight blessed gods days all
ἔνθ' ἀπέβη γλαυκῶπις, ἐπεὶ διεπέφραδε κούρῃ.
there departed the-flashing-eyed-one when she-had-spoken-plainly to-the-maiden

At dawn Nausicaa asks her father for the mule wagon, and he understands what she will not say. Her mother packs food, wine, and oil. At the river the girls tread the clothes and spread them on the shore, then bathe, eat, and play ball, Nausicaa standing out like Artemis among her nymphs.

Αὐτίκα δ᾽ Ἠὼς ἦλθεν ἐύθρονος, ἥ μιν ἔγειρε
At-once and Dawn came fair-throned who her woke
Ναυσικάαν ἐύπεπλον· ἄφαρ δ᾽ ἀπεθαύμασ᾽ ὄνειρον,
Nausicaa well-robed straightway and she-marveled-at the-dream
βῆ δ᾽ ἰέναι διὰ δώμαθ᾽, ἵν᾽ ἀγγείλειε τοκεῦσιν, 50
went and to-go through the-house so-that she-might-tell the-parents
πατρὶ φίλῳ καὶ μητρί· κιχήσατο δ᾽ ἔνδον ἐόντας·
father dear and mother found and inside being
ἡ μὲν ἐπ᾽ ἐσχάρῃ ἧστο σὺν ἀμφιπόλοισι γυναιξὶν
she indeed by the-hearth sat with handmaid women
ἠλάκατα στρωφῶσ᾽ ἁλιπόρφυρα· τῷ δὲ θύραζε
yarn spinning sea-purple him and at-the-door
ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας
coming she-met going-to famous kings
ἐς βουλήν, ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί. 55
to the-council where him called the-Phaeacians lordly
ἡ δὲ μάλ᾽ ἄγχι στᾶσα φίλον πατέρα προσέειπε·
she and very near standing dear father addressed
"Πάππα φίλ᾽, οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην
Papa dear not — indeed for-me would-you-make-ready a-wagon
ὑψηλὴν ἐύκυκλον, ἵνα κλυτὰ εἵματ᾽ ἄγωμαι
high well-wheeled so-that the-famous clothes I-may-take
ἐς ποταμὸν πλυνέουσα, τά μοι ῥερυπωμένα κεῖται;
to the-river to-wash which for-me dirtied lie

καὶ δὲ σοὶ αὐτῷ ἔοικε μετὰ πρώτοισιν ἐόντα
and also for-you yourself it-befits among the-first being
βουλὰς βουλεύειν καθαρὰ χροΐ εἵματ' ἔχοντα.
counsels to-counsel clean on-skin clothes having
πέντε δέ τοι φίλοι υἱες ἐνὶ μεγάροις γεγάασιν,
five and you-know dear sons in the-halls are-born
οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠίθεοι θαλέθοντες·
the two married three and unmarried blooming
οἱ δ' αἰεὶ ἐθέλουσι νεόπλυτα εἵματ' ἔχοντες
they and always wish newly-washed clothes having
ἐς χορὸν ἔρχεσθαι· τὰ δ' ἐμῇ φρενὶ πάντα μέμηλεν."
to the-dance to-go these and my mind all are-a-care
Ὣς ἔφατ'· αἴδετο γὰρ θαλερὸν γάμον ἐξονομῆναι
So she-spoke she-was-ashamed for blooming marriage to-speak-out
πατρὶ φίλῳ. ὁ δὲ πάντα νόει καὶ ἀμείβετο μύθῳ·
to-father dear he and all understood and answered with-speech
"Οὔτε τοι ἡμιόνων φθονέω, τέκος, οὔτε τευ ἄλλου.
Neither you-know the-mules do-I-begrudge child nor any other-thing
ἔρχευ· ἀτάρ τοι δμῶες ἐφοπλίσσουσιν ἀπήνην
go but for-you servants will-make-ready the-wagon
ὑψηλὴν εὐκυκλον, ὑπερτερίῃ ἀραρυῖαν."
high well-wheeled with-a-frame fitted
Ὣς εἰπὼν δμώεσσιν ἐκέκλετο, τοὶ δ' ἐπίθοντο.
So having-spoken to-the-servants he-called they and obeyed
οἱ μὲν ἄρ' ἐκτὸς ἄμαξαν εὐτροχον ἡμιονείην
they indeed then outside a-wagon well-wheeled mule
ὤπλεον, ἡμιόνους θ' ὕπαγον ζεῦξάν θ' ὑπ' ἀπήνῃ·
made-ready mules and led-under and yoked under the-wagon
κούρη δ' ἐκ θαλάμοιο φέρεν ἐσθῆτα φαεινήν.
the-maiden and from the-chamber brought the-clothing bright

καὶ τὴν μὲν κατέθηκεν ἐυξέστῳ ἐπ᾽ ἀπήνῃ,
and it indeed she-laid-down well-polished on the-wagon
μήτηρ δ᾽ ἐν κίστῃ ἐτίθει μενοεικέ᾽ ἐδωδὴν
mother and in a-box put satisfying food
παντοίην, ἐν δ᾽ ὄψα τίθει, ἐν δ᾽ οἶνον ἔχευεν
of-all-kinds in and dainties put in and wine poured
ἀσκῷ ἐν αἰγείῳ· κούρη δ᾽ ἐπεβήσετ᾽ ἀπήνης.
skin in goatskin the-maiden and mounted the-wagon
δῶκεν δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
gave and golden in a-flask liquid oil
ἦος χυτλώσαιτο σὺν ἀμφιπόλοισι γυναιξίν.
so-that she-might-anoint-herself with handmaid women
ἡ δ᾽ ἔλαβεν μάστιγα καὶ ἡνία σιγαλόεντα,
she and took the-whip and the-reins glittering
μάστιξεν δ᾽ ἐλάαν· καναχὴ δ᾽ ἦν ἡμιόνοιιν.
she-whipped and to-drive clatter and was of-the-two-mules
αἱ δ᾽ ἄμοτον τανύοντο, φέρον δ᾽ ἐσθῆτα καὶ αὐτήν,
they and unceasingly strained bore and the-clothing and her
οὐκ οἴην, ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
not alone with her indeed also handmaids went others
Αἱ δ᾽ ὅτε δὴ ποταμοῖο ῥόον περικαλλέ᾽ ἵκοντο,
They and when indeed of-the-river the-stream very-fair reached
ἔνθ᾽ ἦ τοι πλυνοὶ ἦσαν ἐπηετανοί, πολὺ δ᾽ ὕδωρ
there truly indeed the-washing-places were never-failing much and water
καλὸν ὑπεκπρόρεεν μάλα περ ῥυπόωντα καθῆραι,
fair flowed-forth-from-beneath very indeed soiled-things to-cleanse
ἔνθ᾽ αἵ γ᾽ ἡμιόνους μὲν ὑπεκπροέλυσαν ἀπήνης.
there they indeed the-mules indeed unyoked from-the-wagon

καὶ τὰς μὲν σεῦαν ποταμὸν πάρα δινήεντα
and them indeed drove the-river beside eddying
τρώγειν ἄγρωστιν μελιηδέα· ταὶ δ' ἀπ' ἀπήνης
to-crop grass honey-sweet they and from the-wagon
εἵματα χερσὶν ἔλοντο καὶ ἐσφόρεον μέλαν ὕδωρ,
the-clothes in-hands took and carried-into black water
στεῖβον δ' ἐν βόθροισι θοῶς ἔριδα προφέρουσαι.
trod and in pits swiftly rivalry putting-forth
αὐτὰρ ἐπεὶ πλυνάν τε κάθηράν τε ῥύπα πάντα,
but when they-had-washed both cleansed and stains all
ἑξείης πέτασαν παρὰ θῖν' ἁλός, ἧχι μάλιστα
in-a-row they-spread by the-shore of-the-sea where most
λάιγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα.
pebbles toward land washed-up the-sea
αἱ δὲ λοεσσάμεναι καὶ χρισάμεναι λίπ' ἐλαίῳ
they and having-bathed and having-anointed richly with-oil
δεῖπνον ἔπειθ' εἵλοντο παρ' ὄχθῃσιν ποταμοῖο,
meal then took by the-banks of-the-river
εἵματα δ' ἠελίοιο μένον τερσήμεναι αὐγῇ.
the-clothes and of-the-sun awaited to-dry in-the-ray
αὐτὰρ ἐπεὶ σίτου τάρφθεν δμῳαί τε καὶ αὐτή,
but when with-food were-satisfied the-maidservants both and she-herself
σφαίρῃ ταὶ δ' ἄρ' ἔπαιζον, ἀπὸ κρήδεμνα βαλοῦσαι·
with-a-ball they and then played off veils having-thrown
τῇσι δὲ Ναυσικάα λευκώλενος ἤρχετο μολπῆς.
to-them and Nausicaa white-armed began the-song
οἵη δ' Ἄρτεμις εἶσι κατ' οὔρεα ἰοχέαιρα,
such-as and Artemis goes over mountains arrow-pouring
ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον,
either over Taygetus very-lofty or Erymanthus

τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι·
delighting in-boars and swift deer
τῇ δέ θ' ἅμα νύμφαι, κοῦραι Διὸς αἰγιόχοιο,
with-her and — together nymphs daughters of-Zeus aegis-bearing
ἀγρονόμοι παίζουσι, γέγηθε δέ τε φρένα Λητώ·
of-the-fields play rejoices and — in-mind Leto
πασάων δ' ὑπὲρ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα,
all and above she indeed head has and brows
ῥεῖά τ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι·
easily and recognizable is fair and — all
ὣς ἥ γ' ἀμφιπόλοισι μετέπρεπε παρθένος ἀδμής.
so she indeed among-the-handmaids was-conspicuous a-maiden unwed

VI.3 · ODYSSEUS AND NAUSICAA

Nausicaa throws the ball into the river, and the girls' cry wakes Odysseus. Covering himself with a branch, he comes out like a hungry lion, and the girls scatter; only Nausicaa stands, for Athena gives her courage. He praises her as like Artemis or a young palm on Delos and begs for a rag and directions to the city.

Ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πάλιν οἰκόνδε νέεσθαι
But when indeed then she-was-about back homeward to-return
ζεύξασ' ἡμιόνους πτύξασά τε εἵματα καλά,
having-yoked the-mules having-folded and the-clothes fair
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεά, γλαυκῶπις Ἀθήνη,
then in-turn another-thing thought the-goddess flashing-eyed Athena
ὡς Ὀδυσεὺς ἔγροιτο, ἴδοι τ' εὐώπιδα κούρην,
that Odysseus might-wake might-see and the-fair-eyed maiden
ἥ οἱ Φαιήκων ἀνδρῶν πόλιν ἡγήσαιτο.
who him of-the-Phaeacian men to-the-city might-lead

σφαῖραν ἔπειτ᾽ ἔρριψε μετ᾽ ἀμφίπολον βασίλεια·
the-ball then threw at a-handmaid the-princess
ἀμφιπόλου μὲν ἅμαρτε, βαθείῃ δ᾽ ἔμβαλε δίνῃ·
the-handmaid indeed she-missed into-deep and she-cast eddy
αἱ δ᾽ ἐπὶ μακρὸν ἄυσαν· ὁ δ᾽ ἔγρετο δῖος Ὀδυσσεύς,
they and far-and loud shrieked he and woke noble Odysseus
ἑζόμενος δ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν·
sitting and he-pondered in mind and in heart
"Ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Ah me I of-what in-turn mortals to land have-I-come
ἦ ῥ᾽ οἵ γ᾽ ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
truly then they indeed insolent both and savage nor just
ἦε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής;
or hospitable and their mind is god-fearing
ὥς τέ με κουράων ἀμφήλυθε θῆλυς ἀυτή·
as — me of-maidens surrounded female cry
νυμφάων, αἳ ἔχουσ᾽ ὀρέων αἰπεινὰ κάρηνα
of-nymphs who hold of-mountains the-steep peaks
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
and springs of-rivers and meadows grassy
ἦ νύ που ἀνθρώπων εἰμὶ σχεδὸν αὐδηέντων;
or now somehow of-men am-I near speaking-with-voice
ἀλλ᾽ ἄγ᾽ ἐγὼν αὐτὸς πειρήσομαι ἠδὲ ἴδωμαι."
but come I myself will-try and see
Ὣς εἰπὼν θάμνων ὑπεδύσετο δῖος Ὀδυσσεύς,
So having-spoken from-the-bushes crept-out noble Odysseus
ἐκ πυκινῆς δ᾽ ὕλης πτόρθον κλάσε χειρὶ παχείῃ
from thick and wood a-branch he-broke with-hand stout
φύλλων, ὡς ῥύσαιτο περὶ χροΐ μήδεα φωτός.
with-leaves so-that he-might-cover around skin the-private-parts of-the-man

βῆ δ' ἴμεν ὥς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς,
went and to-go like — a-lion mountain-bred in-might trusting
ὅς τ' εἶσ' ὑόμενος καὶ ἀήμενος, ἐν δέ οἱ ὄσσε
who — goes rained-upon and blown-upon in and his eyes
δαίεται· αὐτὰρ ὁ βουσὶ μετέρχεται ἢ ὀίεσσιν
blaze but he among-oxen goes or among-sheep
ἠὲ μετ' ἀγροτέρας ἐλάφους· κέλεται δέ ἑ γαστὴρ
or after wild deer bids and him belly
μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν·
of-flocks to-make-trial and into close-built fold to-go
ὣς Ὀδυσεὺς κούρῃσιν ἐυπλοκάμοισιν ἔμελλε
so Odysseus among-maidens fair-tressed was-about
μίξεσθαι, γυμνός περ ἐών· χρειὼ γὰρ ἵκανε.
to-mingle naked though being need for had-come
σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ,
terrible and to-them appeared befouled with-brine
τρέσσαν δ' ἄλλυδις ἄλλη ἐπ' ἠιόνας προὐχούσας·
they-fled and this-way that-way to beaches jutting
οἴη δ' Ἀλκινόου θυγάτηρ μένε· τῇ γὰρ Ἀθήνη
alone and of-Alcinous the-daughter stayed in-her for Athena
θάρσος ἐνὶ φρεσὶ θῆκε καὶ ἐκ δέος εἵλετο γυίων.
courage in mind put and from fear took of-the-limbs
στῆ δ' ἄντα σχομένη· ὁ δὲ μερμήριξεν Ὀδυσσεύς,
she-stood and facing(-him) holding-firm he and pondered Odysseus
ἢ γούνων λίσσοιτο λαβὼν ἐυώπιδα κούρην,
whether by-the-knees he-should-beseech clasping the-fair-eyed maiden
ἦ αὖτως ἐπέεσσιν ἀποστὰς μειλιχίοισι
or just-so with-words standing-apart honeyed
λίσσοιτ', εἰ δείξειε πόλιν καὶ εἵματα δοίη.
beseech(-her) if she-would-show the-city and clothes give

ὣς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
so then to-him thinking seemed more-profitable to-be
λίσσεσθαι ἐπέεσσιν ἀποσταδὰ μειλιχίοισι,
to-beseech(-her) with-words standing-apart honeyed
μή οἱ γοῦνα λαβόντι χολώσαιτο φρένα κούρη.
lest him the-knees having-clasped might-be-angered in-mind the-maiden
αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον.
at-once honeyed and crafty he-spoke speech
"Γουνοῦμαί σε, ἄνασσα· θεός νύ τις, ἢ βροτός ἐσσι;
I-entreat you queen a-goddess now some or mortal are-you
εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
if indeed some goddess you-are who heaven broad hold
Ἀρτέμιδί σε ἐγώ γε, Διὸς κούρῃ μεγάλοιο,
to-Artemis you I indeed of-Zeus to-the-daughter great
εἶδός τε μέγεθός τε φυήν τ' ἄγχιστα ἐίσκω·
in-form both stature and build and most-nearly do-liken
εἰ δέ τίς ἐσσι βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσιν,
if and some you-are of-mortals who on earth dwell
τρὶς μάκαρες μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ,
thrice blessed indeed your indeed father and queenly mother
τρὶς μάκαρες δὲ κασίγνητοι· μάλα πού σφισι θυμὸς
thrice blessed and brothers very surely their heart
αἰὲν ἐυφροσύνῃσιν ἰαίνεται εἵνεκα σεῖο,
always with-joys is-warmed on-account-of you
λευσσόντων τοιόνδε θάλος χορὸν εἰσοιχνεῦσαν.
seeing such a-sprig the-dance entering
κεῖνος δ' αὖ περὶ κῆρι μακάρτατος ἔξοχον ἄλλων,
he and in-turn beyond in-heart most-blessed above others
ὅς κέ σ' ἐέδνοισι βρίσας οἶκόνδ' ἀγάγηται.
who — you with-wedding-gifts prevailing homeward may-lead

οὐ γάρ πω τοιοῦτον ἴδον βροτὸν ὀφθαλμοῖσιν,
not for yet such I-saw a-mortal with-eyes
οὔτ' ἄνδρ' οὔτε γυναῖκα· σέβας μ' ἔχει εἰσορόωντα.
neither man nor woman awe me holds looking-at(-you)
Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ
in-Delos indeed once such of-Apollo beside the-altar
φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα·
of-a-palm young shoot springing-up I-saw
ἦλθον γὰρ καὶ κεῖσε, πολὺς δέ μοι ἕσπετο λαός,
I-came for also thither much and me followed a-host
τὴν ὁδὸν ᾗ δὴ μέλλεν ἐμοὶ κακὰ κήδ' ἔσεσθαι.
on-the journey on-which indeed was-to for-me evil troubles to-be
ὣς δ' αὔτως καὶ κεῖνο ἰδὼν ἐτεθήπεα θυμῷ
so and likewise also that seeing I-was-amazed in-heart
δήν, ἐπεὶ οὔ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης,
long since not yet such came-up out-of a-tree the-earth
ὡς σέ, γύναι, ἄγαμαί τε τέθηπά τε, δείδια δ' αἰνῶς
as you lady I-admire both am-amazed and I-fear and terribly
γούνων ἅψασθαι· χαλεπὸν δέ με πένθος ἱκάνει.
the-knees to-clasp hard and me grief comes-upon
χθιζὸς ἐεικοστῷ φύγον ἤματι οἴνοπα πόντον·
yesterday on-the-twentieth I-escaped day wine-dark sea
τόφρα δέ μ' αἰεὶ κῦμ' ἐφόρει κραιπναί τε θύελλαι
so-long and me always the-wave bore swift and storms
νήσου ἀπ' Ὠγυγίης. νῦν δ' ἐνθάδε κάββαλε δαίμων,
the-island from Ogygia now and here cast(-me) a-god
ὄφρ' ἔτι που καὶ τῇδε πάθω κακόν· οὐ γὰρ ὀίω
so-that still somewhere also here I-may-suffer evil not for I-think
παύσεσθ', ἀλλ' ἔτι πολλὰ θεοὶ τελέουσι πάροιθεν.
it-will-cease but still many-things the-gods will-accomplish before

ἀλλά, ἄνασσ', ἐλέαιρε· σὲ γὰρ κακὰ πολλὰ μογήσας
but queen pity you for evils many having-toiled
ἐς πρώτην ἱκόμην, τῶν δ' ἄλλων οὔ τινα οἶδα
to first I-have-come of-the and others not any I-know
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν.
of-men who this city and land hold
ἄστυ δέ μοι δεῖξον, δὸς δὲ ῥάκος ἀμφιβαλέσθαι,
the-town and to-me show give and a-rag to-throw-around
εἴ τί που εἴλυμα σπείρων ἔχες ἐνθάδ' ἰοῦσα.
if any somewhere wrapper of-clothes you-had here coming
σοὶ δὲ θεοὶ τόσα δοῖεν ὅσα φρεσὶ σῇσι μενοινᾷς,
to-you and the-gods so-much may-give as-much-as in-mind your you-purpose
ἄνδρα τε καὶ οἶκον, καὶ ὁμοφροσύνην ὀπάσειαν
a-husband both and a-house and like-mindedness may-they-bestow
ἐσθλήν· οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον,
good not indeed for than-this indeed stronger and better
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
than when like-minded in-thoughts a-house hold
ἀνὴρ ἠδὲ γυνή· πόλλ' ἄλγεα δυσμενέεσσι,
a-man and a-wife many pains to-ill-wishers
χάρματα δ' εὐμενέτῃσι, μάλιστα δέ τ' ἔκλυον αὐτοί."
joys and to-well-wishers most and — have-renown themselves

Nausicaa tells him that Zeus gives fortune as he wills, and promises clothing and the way to the city of the Phaeacians, where she is the king's daughter. She calls back her handmaids, telling them that strangers and beggars are from Zeus. Odysseus bathes alone in the river, and Athena makes him taller and more handsome. Nausicaa tells her maids that she wishes she had such a husband, and they feed him.

Τὸν δ' αὖ Ναυσικάα λευκώλενος ἀντίον ηὔδα·
Him and in-turn Nausicaa white-armed in-reply spoke
"Ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας·
Stranger since neither to-a-base nor to-a-senseless man you-are-like
Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
Zeus and himself apportions happiness the-Olympian to-men
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ·
to-good and to-bad as he-wishes to-each
καί που σοὶ τάδ' ἔδωκε, σὲ δὲ χρὴ τετλάμεν ἔμπης. 190
and somehow to-you these-things he-gave you and must to-endure still
νῦν δ', ἐπεὶ ἡμετέρην τε πόλιν καὶ γαῖαν ἱκάνεις,
now but since our both city and land you-come-to
οὔτ' οὖν ἐσθῆτος δευήσεαι οὔτε του ἄλλου,
neither then of-clothing will-you-lack nor of-any other-thing
ὧν ἐπέοιχ' ἱκέτην ταλαπείριον ἀντιάσαντα.
of-what is-fitting a-suppliant much-suffering having-come
ἄστυ δέ τοι δείξω, ἐρέω δέ τοι οὔνομα λαῶν.
the-town and to-you I-will-show I-will-tell and to-you the-name of-the-people
Φαίηκες μὲν τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν, 195
Phaeacians indeed this city and land hold

εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο,
am and I the-daughter of-great-hearted Alcinous
τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε."
of-him and from the-Phaeacians is-held power both strength and
Ἦ ῥα καὶ ἀμφιπόλοισιν ἐυπλοκάμοισι κέλευσε·
She-spoke then and to-the-handmaids fair-tressed she-bade
"Στῆτέ μοι, ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
Stand for-me handmaids whither do-you-flee a-man seeing
ἦ μή πού τινα δυσμενέων φάσθ' ἔμμεναι ἀνδρῶν;
truly not somehow some of-hostile you-say to-be men
οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς οὐδὲ γένηται,
not is this man alive mortal nor shall-be
ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
who — of-the-Phaeacian men to land may-come
δηιοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀθανάτοισιν.
enmity bringing very for dear to-the-immortals
οἰκέομεν δ' ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ,
we-dwell and far-away much-dashing in the-sea
ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
farthest nor any with-us of-mortals mingles other
ἀλλ' ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ' ἱκάνει,
but this some wretched wandering here comes
τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
him now we-must tend from for Zeus are all
ξεῖνοί τε πτωχοί τε, δόσις δ' ὀλίγη τε φίλη τε.
strangers both beggars and a-gift and small both dear and
ἀλλὰ δότ', ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε,
but give handmaids to-the-stranger food both drink and
λούσατέ τ' ἐν ποταμῷ, ὅθ' ἐπὶ σκέπας ἔστ' ἀνέμοιο."
bathe and in the-river where on shelter is from-wind

Ὣς ἔφαθ', αἱ δ' ἔσταν τε καὶ ἀλλήλῃσι κέλευσαν,
So she-spoke they and stood both and each-other urged
κὰδ δ' ἄρ' Ὀδυσσῆ' εἶσαν ἐπὶ σκέπας, ὡς ἐκέλευσεν
down and then Odysseus they-seated by shelter as bade
Ναυσικάα θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Nausicaa daughter of-great-hearted Alcinous
πὰρ δ' ἄρα οἱ φᾶρός τε χιτῶνά τε εἵματ' ἔθηκαν,
beside and then him a-cloak both tunic and clothes they-put
δῶκαν δὲ χρυσέῃ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
gave and golden in a-flask liquid oil
ἤνωγον δ' ἄρα μιν λοῦσθαι ποταμοῖο ῥοῇσιν.
bade and then him to-bathe of-the-river in-the-streams
δή ῥα τότ' ἀμφιπόλοισι μετηύδα δῖος Ὀδυσσεύς·
indeed then then to-the-handmaids spoke-among(-them) noble Odysseus
"Ἀμφίπολοι, στῆθ' οὕτω ἀπόπροθεν, ὄφρ' ἐγὼ αὐτὸς
Handmaids stand thus far-off so-that I myself
ἅλμην ὤμοιιν ἀπολούσομαι, ἀμφὶ δ' ἐλαίῳ
the-brine from-shoulders may-wash-off around and with-oil
χρίσομαι· ἦ γὰρ δηρὸν ἀπὸ χροός ἐστιν ἀλοιφή.
anoint-myself truly for long from skin is unguent
ἄντην δ' οὐκ ἂν ἐγώ γε λοέσσομαι· αἰδέομαι γὰρ
before-you but not — I indeed will-bathe I-am-ashamed for
γυμνοῦσθαι κούρῃσιν ἐυπλοκάμοισι μετελθών."
to-strip-naked among-maidens fair-tressed having-come
Ὣς ἔφαθ', αἱ δ' ἀπάνευθεν ἴσαν, εἶπον δ' ἄρα κούρῃ.
So he-spoke they and apart went told and then the-maiden
αὐτὰρ ὁ ἐκ ποταμοῦ χρόα νίζετο δῖος Ὀδυσσεὺς
but he from the-river skin washed noble Odysseus
ἅλμην, ἥ οἱ νῶτα καὶ εὐρέας ἄμπεχεν ὤμους,
the-brine which his back and broad covered shoulders

ἐκ κεφαλῆς δ᾽ ἔσμηχεν ἁλὸς χνόον ἀτρυγέτοιο.
from head and he-wiped of-the-sea the-scum barren
αὐτὰρ ἐπεὶ δὴ πάντα λοέσσατο καὶ λίπ᾽ ἄλειψεν,
but when indeed all he-had-washed and richly anointed
ἀμφὶ δὲ εἵματα ἕσσαθ᾽ ἃ οἱ πόρε παρθένος ἀδμής,
around and clothes put-on which him gave the-maiden unwed
τὸν μὲν Ἀθηναίη θῆκεν Διὸς ἐκγεγαυῖα
him indeed Athena made of-Zeus sprung
μείζονά τ᾽ εἰσιδέειν καὶ πάσσονα, κὰδ δὲ κάρητος
taller both to-look-on and stouter down and from-the-head
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
curling sent locks to-hyacinthine flower like
ὡς δ᾽ ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
as and when some gold overlays on-silver a-man
ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
skilled whom Hephaestus has-taught and Pallas Athena
τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει,
art of-all-kinds graceful and works completes
ὣς ἄρα τῷ κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
so then on-him she-shed grace on-head both and shoulders
ἕζετ᾽ ἔπειτ᾽ ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης,
he-sat then apart going on the-shore of-the-sea
κάλλεϊ καὶ χάρισι στίλβων· θηεῖτο δὲ κούρη.
with-beauty and graces glistening gazed and the-maiden
δή ῥα τότ᾽ ἀμφιπόλοισιν ἐυπλοκάμοισι μετηύδα·
indeed then then to-the-handmaids fair-tressed she-spoke-among(-them)
"Κλῦτέ μευ, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω.
Hear me handmaids white-armed so-that something I-may-say
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
not of-all against-the-will of-the-gods who Olympus hold

Φαιήκεσσ᾽ ὅδ᾽ ἀνὴρ ἐπιμίσγεται ἀντιθέοισι·
among-the-Phaeacians this man comes-among godlike
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ᾽ εἶναι,
before indeed for indeed to-me unseemly he-seemed to-be
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
now and to-the-gods he-is-like who heaven broad hold
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
if-only for to-me such a-husband called might-be
ἐνθάδε ναιετάων, καί οἱ ἄδοι αὐτόθι μίμνειν. 245
here dwelling and to-him might-it-please there to-stay
ἀλλὰ δότ᾽, ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε.᾽᾽
but give handmaids to-the-stranger food both drink and
Ὣς ἔφαθ᾽, αἱ δ᾽ ἄρα τῆς μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο,
So she-spoke they and then her very indeed heard and obeyed
πὰρ δ᾽ ἄρ᾽ Ὀδυσσῆι ἔθεσαν βρῶσίν τε πόσιν τε.
beside and then Odysseus they-set food both drink and
ἦ τοι ὁ πῖνε καὶ ἤσθε πολύτλας δῖος Ὀδυσσεὺς
truly indeed he drank and ate much-enduring noble Odysseus
ἁρπαλέως· δηρὸν γὰρ ἐδητύος ἦεν ἄπαστος. 250
greedily long for of-food he-was untasting

Nausicaa tells Odysseus to follow the wagon through the fields, but to wait in the grove of Athena outside the city, since the people would gossip about a stranger with her. He is to go to her father's palace, pass the king, and clasp her mother's knees, for if the queen favors him he will see his home again. They reach the grove at sunset, and Odysseus prays to Athena, who hears him but does not yet appear, out of respect for Poseidon.

Αὐτὰρ Ναυσικάα λευκώλενος ἄλλ᾽ ἐνόησεν·
But Nausicaa white-armed another-thing thought
εἵματ᾽ ἄρα πτύξασα τίθει καλῆς ἐπ᾽ ἀπήνης,
the-clothes then folding she-placed fair on wagon
ζεῦξεν δ᾽ ἡμιόνους κρατερώνυχας, ἂν δ᾽ ἔβη αὐτή,
yoked and the-mules strong-hoofed up and went she-herself
ὤτρυνεν δ᾽ Ὀδυσῆα, ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
urged and Odysseus word and spoke out and named(-him)
255 “ Ὄρσεο δὴ νῦν, ξεῖνε, πόλινδ᾽ ἴμεν, ὄφρα σε πέμψω
Rise indeed now stranger to-the-city to-go so-that you I-may-send
πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθα σέ φημι
of-father my to house wise where you I-say
πάντων Φαιήκων εἰδησέμεν ὅσσοι ἄριστοι.
of-all Phaeacians to-be-going-to-know as-many-as best
ἀλλὰ μάλ᾽ ὧδ᾽ ἔρδειν, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
but very thus to-do you-seem and to-me not to-be-witless
ὄφρ᾽ ἂν μέν κ᾽ ἀγροὺς ἴομεν καὶ ἔργ᾽ ἀνθρώπων,
while — indeed — the-fields we-go and the-works of-men
260 τόφρα σὺν ἀμφιπόλοισι μεθ᾽ ἡμιόνους καὶ ἅμαξαν
so-long with the-handmaids behind the-mules and wagon
καρπαλίμως ἔρχεσθαι· ἐγὼ δ᾽ ὁδὸν ἡγεμονεύσω.
quickly to-go I and the-way will-lead

αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν, ἣν πέρι πύργος
but when the-city we-reach which around a-wall
ὑψηλός, καλὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
high fair and a-harbor on-either-side of-the-city
λεπτὴ δ' εἰσίθμη· νῆες δ' ὁδὸν ἀμφιέλισσαι
narrow and the-entrance ships and the-road curved
εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστῳ.
are-drawn-up for-all for a-slip is for-each
ἔνθα δέ τέ σφ' ἀγορὴ καλὸν Ποσιδήιον ἀμφίς,
there and — their the-place-of-assembly fair Poseidon's-shrine around
ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ' ἀραρυῖα.
with-dragged stones deep-bedded fitted
ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσι,
there and of-ships the-gear black they-care-for
πείσματα καὶ σπεῖρα, καὶ ἀποξύνουσιν ἐρετμά.
cables and sails and they-sharpen oars
οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
not for to-the-Phaeacians is-of-concern bow nor quiver
ἀλλ' ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐΐσαι,
but masts and oars of-ships and ships balanced
ἦσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν.
in-which exulting gray they-cross sea
τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
of-these I-shun the-talk bitter lest any hereafter
μωμεύῃ· μάλα δ' εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον·
should-mock very and are overbearing throughout the-land
καί νύ τις ὧδ' εἴπῃσι κακώτερος ἀντιβολήσας·
and now some thus may-say baser meeting(-us)

‘Τίς δ’ ὅδε Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε
Who and this with-Nausicaa follows fair both tall and
ξεῖνος; ποῦ δέ μιν εὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῇ.
stranger where and him did-she-find husband now to-her he-will-be herself
ἦ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
truly some somewhere having-wandered she-brought-home his-own from ship
ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
of-men far-off since not any near are
ἤ τίς οἱ εὐξαμένη πολυάρητος θεὸς ἦλθεν
or some to-her having-prayed much-prayed-for god came
οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα.
from-heaven having-come-down he-will-have and her days all
βέλτερον, εἰ καὐτή περ ἐποιχομένη πόσιν εὕρεν
better if she-herself indeed going-about a-husband found
ἄλλοθεν· ἦ γὰρ τούσδε γ’ ἀτιμάζει κατὰ δῆμον
elsewhere truly for these indeed she-dishonors throughout the-land
Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.’
Phaeacians who her woo many both and noble
ὣς ἐρέουσιν, ἐμοὶ δέ κ’ ὀνείδεα ταῦτα γένοιτο.
so they-will-say for-me and — reproaches these would-be
καὶ δ’ ἄλλῃ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
and — another-woman I-blame who any such-things indeed should-do
ἥ τ’ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων,
who — against-the-will of-dear father and mother being
ἀνδράσι μίσγηται, πρίν γ’ ἀμφάδιον γάμον ἐλθεῖν.
with-men consorts before indeed open marriage to-come
ξεῖνε, σὺ δ’ ὦκ’ ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
stranger you and quickly from-me understand word so-that most-quickly
πομπῆς καὶ νόστοιο τύχῃς παρὰ πατρὸς ἐμοῖο.
of-escort and return you-may-obtain from father my

δήεις ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
you-will-find a-glorious grove of-Athena near the-road
αἰγείρων· ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
of-poplars in and a-spring flows around and a-meadow
ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ' ἀλωή,
there and of-father my precinct flourishing and vineyard
τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας.
so-far from the-city as-far-as — one-makes-heard shouting
ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
there sitting to-wait time until (the-time)-when — we
ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
to-the-city we-come and reach the-house of-father
αὐτὰρ ἐπὴν ἡμέας ἔλπῃ ποτὶ δώματ' ἀφῖχθαι,
but when us you-expect to the-house to-have-arrived
καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ' ἐρέεσθαι
and then of-the-Phaeacians to-go to the-city and ask-for
δώματα πατρὸς ἐμοῦ μεγαλήτορος Ἀλκινόοιο.
the-house of-father my great-hearted Alcinous
ῥεῖα δ' ἀρίγνωτ' ἐστί, καὶ ἂν πάις ἡγήσαιτο
easily and recognizable it-is and — a-child could-lead(-you)
νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
an-infant not indeed for at-all like to-them have-been-made
δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
the-houses of-the-Phaeacians as the-house of-Alcinous
ἥρωος. ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή,
of-the-hero but when — you the-house hide and the-court
ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ' ἂν ἵκηαι
quickly very the-hall to-go-through until — you-reach
μητέρ' ἐμήν· ἡ δ' ἧσται ἐπ' ἐσχάρῃ ἐν πυρὸς αὐγῇ,
mother my she and sits at the-hearth in of-fire the-light

ἠλάκατα στρωφῶσ᾽ ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
yarn spinning sea-purple a-wonder to-see
κίονι κεκλιμένη· δμωαὶ δέ οἱ εἵατ᾽ ὄπισθεν.
against-a-pillar leaning maidservants and her sit behind
ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῇ,
there and of-father my the-throne leans-against her
τῷ ὅ γε οἰνοποτάζει ἐφήμενος ἀθάνατος ὥς.
on-which he indeed sips-wine sitting an-immortal like
τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
him passing-by of-mother around the-knees hands
βάλλειν ἠμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
to-cast our so-that of-return the-day you-may-see
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
rejoicing quickly if even very from-afar you-are
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ᾽ ἐνὶ θυμῷ,
if — to-you she indeed kindly thinks in heart
ἐλπωρή τοι ἔπειτα φίλους τ᾽ ἰδέειν καὶ ἱκέσθαι
hope for-you then friends both to-see and to-reach
οἶκον ἐυκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.”
house well-built and your to native land
Ὣς ἄρα φωνήσασ᾽ ἵμασεν μάστιγι φαεινῇ
So then having-spoken she-lashed with-whip shining
ἡμιόνους· αἱ δ᾽ ὦκα λίπον ποταμοῖο ῥέεθρα.
the-mules they and quickly left of-the-river the-streams
αἱ δ᾽ ἐὺ μὲν τρώχων, ἐὺ δὲ πλίσσοντο πόδεσσιν·
they and well indeed trotted well and plied with-feet
ἡ δὲ μάλ᾽ ἡνιόχευεν, ὅπως ἅμ᾽ ἑποίατο πεζοὶ
she and very drove so-that together might-follow on-foot
ἀμφίπολοί τ᾽ Ὀδυσεύς τε, νόῳ δ᾽ ἐπέβαλλεν ἱμάσθλην.
the-handmaids both Odysseus and with-judgment and she-laid-on the-lash

δύσετό τ᾽ ἠέλιος καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο
set and the-sun and they the-famous grove reached
ἱρὸν Ἀθηναίης, ἵν᾽ ἄρ᾽ ἕζετο δῖος Ὀδυσσεύς.
sacred of-Athena where then sat noble Odysseus
αὐτίκ᾽ ἔπειτ᾽ ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
at-once then he-prayed of-Zeus to-the-daughter great
“Κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη·
Hear me of-aegis-bearing Zeus child unwearied-one
νῦν δή πέρ μευ ἄκουσον, ἐπεὶ πάρος οὔ ποτ᾽ ἄκουσας 325
now indeed indeed me hear since before not ever you-heard
ῥαιομένου, ὅτε μ᾽ ἔρραιε κλυτὸς ἐννοσίγαιος.
being-wrecked when me wrecked the-famous earth-shaker
δός μ᾽ ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ᾽ ἐλεεινόν.”
grant me to the-Phaeacians as-dear to-come and pitiable
Ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη.
So he-spoke praying him and heard Pallas Athena
αὐτῷ δ᾽ οὔ πω φαίνετ᾽ ἐναντίη· αἴδετο γάρ ῥα
to-him and not yet she-appeared face-to-face she-respected for then
πατροκασίγνητον· ὁ δ᾽ ἐπιζαφελῶς μενέαινεν 330
her-father's-brother he and furiously raged
ἀντιθέῳ Ὀδυσῆι πάρος ἣν γαῖαν ἱκέσθαι.
against-godlike Odysseus before his-own land to-reach

BOOK VII

VII.1 · ATHENA LEADS ODYSSEUS

Nausicaa reaches the palace, where her old nurse Eurymedusa lights her fire. Athena wraps Odysseus in mist and, in the likeness of a girl carrying a pitcher, leads him at his asking to Alcinous' palace. She warns him that the Phaeacians dislike strangers. At the door she tells him of Queen Arete, descended from Poseidon and her husband's niece, honored by her husband, children, and people, and says that her favor will bring him home.

Ὣς ὁ μὲν ἔνθ' ἠρᾶτο πολύτλας δῖος Ὀδυσσεύς,
So he indeed there prayed much-enduring noble Odysseus
κούρην δὲ προτὶ ἄστυ φέρεν μένος ἡμιόνοιιν.
the-maiden and to the-town bore the-strength of-the-two-mules
ἡ δ' ὅτε δὴ οὗ πατρὸς ἀγακλυτὰ δώματ' ἵκανε,
she and when indeed of-her father the-glorious house reached
στῆσεν ἄρ' ἐν προθύροισι, κασίγνητοι δέ μιν ἀμφὶς
she-halted then in the-gateway brothers and her around
ἵσταντ' ἀθανάτοις ἐναλίγκιοι, οἵ ῥ' ὑπ' ἀπήνης
stood to-immortals like who then from the-wagon
ἡμιόνους ἔλυον ἐσθῆτά τε ἔσφερον εἴσω.
the-mules loosed clothing and carried inside
αὐτὴ δ' ἐς θάλαμον ἑὸν ἤιε· δαῖε δέ οἱ πῦρ
she-herself and into chamber her-own went kindled and for-her fire
γρῆυς Ἀπειραίη, θαλαμηπόλος Εὐρυμέδουσα,
an-old-woman from-Apeire chambermaid Eurymedusa
τήν ποτ' Ἀπείρηθεν νέες ἤγαγον ἀμφιέλισσαι·
whom once from-Apeire ships brought curved

Ἀλκινόῳ δ' αὐτὴν γέρας ἔξελον, οὕνεκα πᾶσιν
for-Alcinous and her as-a-prize they-chose because over-all
Φαιήκεσσιν ἄνασσε, θεοῦ δ' ὣς δῆμος ἄκουεν·
Phaeacians he-ruled of-a-god and like the-people heard(-him)
ἣ τρέφε Ναυσικάαν λευκώλενον ἐν μεγάροισιν.
who nursed Nausicaa white-armed in the-halls
ἥ οἱ πῦρ ἀνέκαιε καὶ εἴσω δόρπον ἐκόσμει.
who for-her the-fire kindled and inside supper prepared
Καὶ τότ' Ὀδυσσεὺς ὦρτο πόλινδ' ἴμεν· ἀμφὶ δ' Ἀθήνη
And then Odysseus rose to-the-city to-go around and Athena
πολλὴν ἠέρα χεῦε φίλα φρονέουσ' Ὀδυσῆι,
much mist shed kindly thinking for-Odysseus
μή τις Φαιήκων μεγαθύμων ἀντιβολήσας
lest any of-the-Phaeacians great-hearted meeting(-him)
κερτομέοι τ' ἐπέεσσι καὶ ἐξερέοιθ' ὅτις εἴη.
might-mock both with-words and might-ask who he-might-be
ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πόλιν δύσεσθαι ἐραννήν,
but when indeed then he-was-about the-city to-enter lovely
ἔνθα οἱ ἀντεβόλησε θεά, γλαυκῶπις Ἀθήνη,
there him met the-goddess flashing-eyed Athena
παρθενικῇ ἐικυῖα νεήνιδι, κάλπιν ἐχούσῃ.
to-a-maiden like a-young-girl a-pitcher holding
στῆ δὲ πρόσθ' αὐτοῦ, ὁ δ' ἀνείρετο δῖος Ὀδυσσεύς·
stood and before him he and asked noble Odysseus
"Ὦ τέκος, οὐκ ἄν μοι δόμον ἀνέρος ἡγήσαιο
O child not — to-me the-house of-the-man would-you-lead
Ἀλκινόου, ὃς τοῖσδε μετ' ἀνθρώποισι ἀνάσσει;
Alcinous who these among men rules

καὶ γὰρ ἐγὼ ξεῖνος ταλαπείριος ἐνθάδ' ἱκάνω
and for I a-stranger much-suffering here come
τηλόθεν ἐξ ἀπίης γαίης· τῷ οὔ τινα οἶδα
from-afar from a-distant land therefore not any I-know
ἀνθρώπων, οἳ τήνδε πόλιν καὶ γαῖαν ἔχουσιν."
of-men who this city and land hold

Τὸν δ' αὖτε προσέειπε θεά, γλαυκῶπις Ἀθήνη·
Him and in-turn addressed the-goddess flashing-eyed Athena
"Τοιγὰρ ἐγώ τοι, ξεῖνε πάτερ, δόμον, ὅν με κελεύεις,
Therefore I to-you stranger father the-house which me you-bid
δείξω, ἐπεί μοι πατρὸς ἀμύμονος ἐγγύθι ναίει.
will-show since of-my father blameless near he-dwells
ἀλλ' ἴθι σιγῇ τοῖον, ἐγὼ δ' ὁδὸν ἡγεμονεύσω,
but go in-silence so I and the-way will-lead
μηδέ τιν' ἀνθρώπων προτιόσσεο μηδ' ἐρέεινε.
nor any of-men look-at nor question
οὐ γὰρ ξείνους οἵδε μάλ' ἀνθρώπους ἀνέχονται,
not for strangers these very men they-bear-with
οὐδ' ἀγαπαζόμενοι φιλέουσ' ὅς κ' ἄλλοθεν ἔλθῃ.
nor kindly-welcoming do-they-love whoever — from-elsewhere comes
νηυσὶ θοῇσιν τοί γε πεποιθότες ὠκείῃσι
in-ships swift they indeed trusting swift
λαῖτμα μέγ' ἐκπερόωσιν, ἐπεί σφισι δῶκ' ἐνοσίχθων·
the-gulf great they-cross since to-them gave(-it) the-earth-shaker
τῶν νέες ὠκεῖαι ὡς εἰ πτερὸν ἠὲ νόημα."
their ships swift as if a-wing or a-thought

Ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
So then having-spoken led-the-way Pallas Athena
καρπαλίμως· ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.
swiftly he and then after the-tracks went of-the-goddess

τὸν δ' ἄρα Φαίηκες ναυσικλυτοὶ οὐκ ἐνόησαν
him and then the-Phaeacians ship-famed not noticed
ἐρχόμενον κατὰ ἄστυ διὰ σφέας· οὐ γὰρ Ἀθήνη
going through the-town through them not for Athena
εἴα ἐυπλόκαμος, δεινὴ θεός, ἥ ῥά οἱ ἀχλὺν
allowed fair-tressed dread goddess who then on-him a-mist
θεσπεσίην κατέχευε φίλα φρονέουσ' ἐνὶ θυμῷ.
wondrous shed kindly thinking in heart
θαύμαζεν δ' Ὀδυσεὺς λιμένας καὶ νῆας ἐίσας
marveled and Odysseus at-the-harbors and ships balanced
αὐτῶν θ' ἡρώων ἀγορὰς καὶ τείχεα μακρὰ
of-themselves and of-the-heroes the-meeting-places and walls long
ὑψηλά, σκολόπεσσιν ἀρηρότα, θαῦμα ἰδέσθαι.
high with-stakes fitted a-wonder to-see
ἀλλ' ὅτε δὴ βασιλῆος ἀγακλυτὰ δώματ' ἵκοντο,
but when indeed of-the-king the-glorious house they-reached
τοῖσι δὲ μύθων ἦρχε θεά, γλαυκῶπις Ἀθήνη·
to-them and of-speeches began the-goddess flashing-eyed Athena
"Οὗτος δή τοι, ξεῖνε πάτερ, δόμος, ὅν με κελεύεις
This indeed you-know stranger father the-house which me you-bid
πεφραδέμεν· δήεις δὲ διοτρεφέας βασιλῆας
to-show you-will-find and Zeus-nurtured kings
δαίτην δαινυμένους· σὺ δ' ἔσω κίε, μηδέ τι θυμῷ
a-feast feasting you and inside go nor at-all in-heart
τάρβει· θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
fear bold for a-man in all better
ἔργοισιν τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι.
in-works proves if even from-somewhere elsewhere he-comes
δέσποιναν μὲν πρῶτα κιχήσεαι ἐν μεγάροισιν·
the-mistress indeed first you-will-find in the-halls

Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, ἐκ δὲ τοκήων
Arete and name is significant from and parents
τῶν αὐτῶν οἵ περ τέκον Ἀλκίνοον βασιλῆα.
the same who indeed begot Alcinous the-king
Ναυσίθοον μὲν πρῶτα Ποσειδάων ἐνοσίχθων
Nausithous indeed first Poseidon earth-shaker
γείνατο καὶ Περίβοια, γυναικῶν εἶδος ἀρίστη,
begot and Periboea of-women in-form best
ὁπλοτάτη θυγάτηρ μεγαλήτορος Εὐρυμέδοντος,
youngest daughter of-great-hearted Eurymedon
ὅς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν.
who once over-the-overbearing Giants was-king
ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός·
but he indeed destroyed the-people reckless perished and himself
τῇ δὲ Ποσειδάων ἐμίγη καὶ ἐγείνατο παῖδα
with-her and Poseidon lay and begot a-son
Ναυσίθοον μεγάθυμον, ὃς ἐν Φαίηξιν ἄνασσε·
Nausithous great-hearted who among the-Phaeacians ruled
Ναυσίθοος δ' ἔτεκεν Ῥηξήνορά τ' Ἀλκίνοόν τε.
Nausithous and begot Rhexenor both Alcinous and
τὸν μὲν ἄκουρον ἐόντα βάλ' ἀργυρότοξος Ἀπόλλων
him indeed sonless being struck silver-bowed Apollo
νυμφίον ἐν μεγάρῳ, μίαν οἴην παῖδα λιπόντα
a-bridegroom in the-hall one only daughter leaving
Ἀρήτην· τὴν δ' Ἀλκίνοος ποιήσατ' ἄκοιτιν,
Arete her and Alcinous made (his)-wife
καί μιν ἔτισ', ὡς οὔ τις ἐπὶ χθονὶ τίεται ἄλλη,
and her honored as not any on earth is-honored other
ὅσσαι νῦν γε γυναῖκες ὑπ' ἀνδράσιν οἶκον ἔχουσιν.
as-many-as now indeed women under husbands a-house keep

ὣς κείνη περὶ κῆρι τετίμηταί τε καὶ ἔστιν
so she beyond in-heart has-been-honored both and is
ἔκ τε φίλων παίδων ἔκ τ᾽ αὐτοῦ Ἀλκινόοιο
by both dear children by and himself Alcinous
καὶ λαῶν, οἵ μίν ῥα θεὸν ὣς εἰσορόωντες
and the-people who her then a-god like looking-on
δειδέχαται μύθοισιν, ὅτε στείχῃσ᾽ ἀνὰ ἄστυ.
greet with-words when she-walks through the-town
οὐ μὲν γάρ τι νόου γε καὶ αὐτὴ δεύεται ἐσθλοῦ·
not indeed for at-all of-mind indeed even she-herself lacks good
ᾗσί τ᾽ ἐὺ φρονέῃσι καὶ ἀνδράσι νείκεα λύει.
to-those-whom — well she-is-minded even for-men quarrels she-resolves
εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ᾽ ἐνὶ θυμῷ,
if — to-you she indeed kindly thinks in heart
ἐλπωρή τοι ἔπειτα φίλους τ᾽ ἰδέειν καὶ ἱκέσθαι
hope for-you then friends both to-see and to-reach
οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν."
house to high-roofed and your to native land

Athena departs for Athens. Odysseus stands before the palace, which shines like the sun or moon, with bronze walls, golden doors, and gold and silver dogs made by Hephaestus. Golden youths hold torches, and fifty women grind and weave. Outside lies an orchard whose fruit ripens all year round: such were the gods' gifts to Alcinous.

Ὣς ἄρα φωνήσασ' ἀπέβη γλαυκῶπις Ἀθήνη
So then having-spoken departed flashing-eyed Athena
πόντον ἐπ' ἀτρύγετον, λίπε δὲ Σχερίην ἐρατεινήν,
the-sea over barren left and Scheria lovely
ἵκετο δ' ἐς Μαραθῶνα καὶ εὐρυάγυιαν Ἀθήνην,
came and to Marathon and wide-streeted Athens
δῦνε δ' Ἐρεχθῆος πυκινὸν δόμον. αὐτὰρ Ὀδυσσεὺς
entered and of-Erechtheus the-close-built house but Odysseus
Ἀλκινόου πρὸς δώματ' ἴε κλυτά· πολλὰ δέ οἱ κῆρ
of-Alcinous to the-house went famous much and his heart
ὥρμαιν' ἱσταμένῳ, πρὶν χάλκεον οὐδὸν ἱκέσθαι.
pondered standing before the-bronze threshold to-reach
ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης
as — for of-the-sun gleam was or of-the-moon
δῶμα καθ' ὑψερεφὲς μεγαλήτορος Ἀλκινόοιο.
the-house through high-roofed of-great-hearted Alcinous
χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλέδατ' ἔνθα καὶ ἔνθα,
bronze indeed for walls were-driven this-way and that-way
ἐς μυχὸν ἐξ οὐδοῦ, περὶ δὲ θριγκὸς κυάνοιο·
to the-inmost-part from the-threshold around and a-cornice of-blue-glaze
χρύσειαι δὲ θύραι πυκινὸν δόμον ἐντὸς ἔεργον·
golden and doors the-close-built house within shut

σταθμοὶ δ᾽ ἀργύρεοι ἐν χαλκέῳ ἕστασαν οὐδῷ,
doorposts and silver in bronze stood threshold
ἀργύρεον δ᾽ ἐφ᾽ ὑπερθύριον, χρυσέη δὲ κορώνη.
silver and on lintel golden and the-handle
χρύσειοι δ᾽ ἑκάτερθε καὶ ἀργύρεοι κύνες ἦσαν,
golden and on-either-side and silver dogs were
οὓς Ἥφαιστος ἔτευξεν ἰδυίῃσι πραπίδεσσι
which Hephaestus made with-knowing wits
δῶμα φυλασσέμεναι μεγαλήτορος Ἀλκινόοιο,
the-house to-guard of-great-hearted Alcinous
ἀθανάτους ὄντας καὶ ἀγήρως ἤματα πάντα.
immortal being and ageless days all
ἐν δὲ θρόνοι περὶ τοῖχον ἐρηρέδατ᾽ ἔνθα καὶ ἔνθα,
in and seats around the-wall were-fixed this-way and that-way
ἐς μυχὸν ἐξ οὐδοῖο διαμπερές, ἔνθ᾽ ἐνὶ πέπλοι
to the-inmost-part from the-threshold throughout there on robes
λεπτοὶ εὐννητοι βεβλήατο, ἔργα γυναικῶν.
fine well-spun were-thrown works of-women
ἔνθα δὲ Φαιήκων ἡγήτορες ἑδριόωντο
there and of-the-Phaeacians the-leaders sat
πίνοντες καὶ ἔδοντες· ἐπηετανὸν γὰρ ἔχεσκον.
drinking and eating all-year-round for they-had(-it)
χρύσειοι δ᾽ ἄρα κοῦροι ἐυδμήτων ἐπὶ βωμῶν
golden and then youths well-built on pedestals
ἕστασαν αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχοντες,
stood burning torches in hands holding
φαίνοντες νύκτας κατὰ δώματα δαιτυμόνεσσι.
lighting by-nights through the-house for-banqueters

πεντήκοντα δέ οἱ δμωαὶ κατὰ δῶμα γυναῖκες
fifty and for-him serving through the-house women
αἱ μὲν ἀλετρεύουσι μύλῃς ἔπι μήλοπα καρπόν,
some indeed grind mills at the-yellow grain
αἱ δ' ἱστοὺς ὑφόωσι καὶ ἠλάκατα στρωφῶσιν
others and looms weave and yarn spin
ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο·
sitting like — leaves of-tall poplar
καιρουσσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον.
from-close-woven and linen trickles-off liquid oil
ὅσσον Φαίηκες περὶ πάντων ἴδριες ἀνδρῶν
as-much-as the-Phaeacians beyond all skilled of-men
νῆα θοὴν ἐνὶ πόντῳ ἐλαυνέμεν, ὣς δὲ γυναῖκες
a-ship swift on the-sea to-drive so and the-women
ἱστῶν τεχνῆσσαι· πέρι γάρ σφισι δῶκεν Ἀθήνη
at-looms skilled beyond(-all) for to-them gave Athena
ἔργα τ' ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλάς.
works both to-understand very-fair and wits good
ἔκτοσθεν δ' αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
outside and the-court great orchard near the-doors
τετράγυος· περὶ δ' ἕρκος ἐλήλαται ἀμφοτέρωθεν.
of-four-acres around and a-hedge is-drawn on-both-sides
ἔνθα δὲ δένδρεα μακρὰ πεφύκασι τηλεθόωντα,
there and trees tall have-grown flourishing
ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
pears and pomegranates and apple-trees with-glorious-fruit
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι.
figs both sweet and olives flourishing

τάων οὔ ποτε καρπὸς ἀπόλλυται οὐδ' ἀπολείπει
of-these not ever fruit perishes nor fails
χείματος οὐδὲ θέρευς, ἐπετήσιος· ἀλλὰ μάλ' αἰεὶ
in-winter nor in-summer all-year-round but very always
Ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
Zephyr blowing some indeed brings-forth others and ripens
ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
pear upon pear grows-old apple and upon apple
αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλή, σῦκον δ' ἐπὶ σύκῳ.
but upon grape grape fig and upon fig
ἔνθα δέ οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται,
there and his fruitful vineyard is-planted
τῆς ἕτερον μὲν θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
of-which one-part indeed a-warm-drying-place level in place
τέρσεται ἠελίῳ, ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
is-dried by-the-sun others and then — they-gather
ἄλλας δὲ τραπέουσι· πάροιθε δέ τ' ὄμφακές εἰσιν
others and they-tread before and — unripe-grapes are
ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσιν.
blossom shedding others and are-turning-dark
ἔνθα δὲ κοσμηταὶ πρασιαὶ παρὰ νείατον ὄρχον
there and trim garden-beds along the-last row
παντοῖαι πεφύασιν, ἐπηετανὸν γανόωσαι·
of-all-kinds have-grown all-year-round gleaming

ἐν δὲ δύω κρῆναι ἡ μέν τ᾽ ἀνὰ κῆπον ἅπαντα
in and two springs the-one indeed — through garden all
σκίδναται, ἡ δ᾽ ἑτέρωθεν ὑπ᾽ αὐλῆς οὐδὸν ἵησι
scatters the-other and on-the-other-side under of-the-court threshold sends
πρὸς δόμον ὑψηλόν, ὅθεν ὑδρεύοντο πολῖται.
to house lofty whence drew-water the-townsfolk
τοῖ᾽ ἄρ᾽ ἐν Ἀλκινόοιο θεῶν ἔσαν ἀγλαὰ δῶρα.
such then in of-Alcinous of-the-gods were glorious gifts

VII.3 · ODYSSEUS SUPPLICATES ARETE

Odysseus walks through the hall, still hidden in mist, and clasps Arete's knees; the mist falls away, and he begs for passage home and sits down in the ashes. Old Echeneus tells Alcinous that a guest should not sit on the ground. Alcinous seats him in his son's chair and orders libations to Zeus, the god of suppliants. He proposes to feast the stranger tomorrow and then plan his escort, and wonders whether he is a god; Odysseus answers that he is a mortal of many sorrows, asks to eat, and begs to be sent home at dawn.

Ἔνθα στὰς θηεῖτο πολύτλας δῖος Ὀδυσσεύς.
There standing gazed much-enduring noble Odysseus
αὐτὰρ ἐπεὶ δὴ πάντα ἑῷ θηήσατο θυμῷ,
but when indeed all in-his-own he-had-gazed-at heart
καρπαλίμως ὑπὲρ οὐδὸν ἐβήσετο δώματος εἴσω.
swiftly over the-threshold he-stepped of-the-house inside
εὗρε δὲ Φαιήκων ἡγήτορας ἠδὲ μέδοντας
found and of-the-Phaeacians the-leaders and rulers
σπένδοντας δεπάεσσιν ἐυσκόπῳ ἀργεϊφόντῃ,
pouring-libations from-cups to-keen-sighted Argus-slayer
ᾧ πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου.
to-whom last they-would-pour-libation when they-were-mindful of-bed

αὐτὰρ ὁ βῆ διὰ δῶμα πολύτλας δῖος Ὀδυσσεὺς
but he went through the-house much-enduring noble Odysseus
πολλὴν ἠέρ' ἔχων, ἣν οἱ περίχευεν Ἀθήνη,
much mist having which on-him had-shed Athena
ὄφρ' ἵκετ' Ἀρήτην τε καὶ Ἀλκίνοον βασιλῆα.
until he-came-to Arete both and Alcinous the-king
ἀμφὶ δ' ἄρ' Ἀρήτης βάλε γούνασι χεῖρας Ὀδυσσεύς,
around and then of-Arete threw on-the-knees hands Odysseus
καὶ τότε δή ῥ' αὐτοῖο πάλιν χύτο θέσφατος ἀήρ.
and then indeed then from-him back was-shed the-divine mist
οἱ δ' ἄνεῳ ἐγένοντο, δόμον κάτα φῶτα ἰδόντες·
they and silent became the-house throughout the-man seeing
θαύμαζον δ' ὁρόωντες. ὁ δὲ λιτάνευεν Ὀδυσσεύς·
marveled and looking he and entreated Odysseus
" Ἀρήτη, θύγατερ Ῥηξήνορος ἀντιθέοιο,
Arete daughter of-Rhexenor godlike
σόν τε πόσιν σά τε γούναθ' ἱκάνω πολλὰ μογήσας
your both husband your and knees I-come-to much having-toiled
τούσδε τε δαιτυμόνας· τοῖσιν θεοὶ ὄλβια δοῖεν
these and banqueters to-whom the-gods happiness may-give
ζωέμεναι, καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος
to-live and to-children may-hand-down each
κτήματ' ἐνὶ μεγάροισι γέρας θ' ὅ τι δῆμος ἔδωκεν·
the-possessions in the-halls the-honor and what thing the-people gave
αὐτὰρ ἐμοὶ πομπὴν ὀτρύνετε πατρίδ' ἱκέσθαι
but for-me escort urge native-land to-reach
θᾶσσον, ἐπεὶ δὴ δηθὰ φίλων ἄπο πήματα πάσχω."
quickly since indeed long friends from sorrows I-suffer

Ὣς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπ᾽ ἐσχάρῃ ἐν κονίῃσιν
So having-spoken down then he-sat at the-hearth in the-ashes
πὰρ πυρί· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
by the-fire they and then all silent became in-silence
ὀψὲ δὲ δὴ μετέειπε γέρων ἥρως Ἐχένηος,
late and indeed spoke-among old hero Echeneus
ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν
who indeed of-the-Phaeacian men older was
καὶ μύθοισι κέκαστο, παλαιά τε πολλά τε εἰδώς·
and in-speeches excelled ancient-things both many and knowing
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
he to-them well intending addressed-the-assembly and spoke-among(-them)
“ Ἀλκίνο᾽, οὐ μέν τοι τόδε κάλλιον, οὐδὲ ἔοικε,
Alcinous not indeed you-know this better nor is-it-fitting
ξεῖνον μὲν χαμαὶ ἧσθαι ἐπ᾽ ἐσχάρῃ ἐν κονίῃσιν,
a-stranger indeed on-the-ground to-sit at the-hearth in the-ashes
οἵδε δὲ σὸν μῦθον ποτιδέγμενοι ἰσχανόωνται.
these and your word waiting hold-back
ἀλλ᾽ ἄγε δὴ ξεῖνον μὲν ἐπὶ θρόνου ἀργυροήλου
but come indeed the-stranger indeed on a-chair silver-studded
εἶσον ἀναστήσας, σὺ δὲ κηρύκεσσι κέλευσον
seat raising(-him) you and the-heralds bid
οἶνον ἐπικρῆσαι, ἵνα καὶ Διὶ τερπικεραύνῳ
wine to-mix so-that also to-Zeus who-delights-in-thunder
σπείσομεν, ὅς θ᾽ ἱκέτῃσιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ·
we-may-pour-libation who — suppliants with revered attends
δόρπον δὲ ξείνῳ ταμίη δότω ἔνδον ἐόντων.”
supper and for-the-stranger the-housekeeper let-give within of-what-is

Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσ' ἱερὸν μένος Ἀλκινόοιο,
But when this indeed heard the-sacred might of-Alcinous
χειρὸς ἑλὼν Ὀδυσῆα δαΐφρονα ποικιλομήτην
by-the-hand taking Odysseus wise-hearted of-subtle-counsel
ὦρσεν ἀπ' ἐσχαρόφιν καὶ ἐπὶ θρόνου εἷσε φαεινοῦ,
he-raised(-him) from the-hearth and on a-chair seated shining
υἱὸν ἀναστήσας ἀγαπήνορα Λαοδάμαντα,
son raising manly Laodamas
ὅς οἱ πλησίον ἷζε, μάλιστα δέ μιν φιλέεσκεν.
who to-him near sat most and him he-loved
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
water-for-hands and a-maid from-a-ewer poured-over bringing
καλῇ χρυσείῃ ὑπὲρ ἀργυρέοιο λέβητος,
fair golden over silver basin
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
to-wash beside and polished she-set-out table
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
bread and modest housekeeper set-beside bringing
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
foods many adding giving-freely from-what-was-there
αὐτὰρ ὁ πῖνε καὶ ἤσθε πολύτλας δῖος Ὀδυσσεύς.
but he drank and ate much-enduring noble Odysseus
καὶ τότε κήρυκα προσέφη μένος Ἀλκινόοιο·
and then the-herald addressed the-might of-Alcinous
"Ποντόνοε, κρητῆρα κερασσάμενος μέθυ νεῖμον
Pontonous a-mixing-bowl having-mixed wine distribute
πᾶσιν ἀνὰ μέγαρον, ἵνα καὶ Διὶ τερπικεραύνῳ
to-all throughout the-hall so-that also to-Zeus who-delights-in-thunder
σπείσομεν, ὅς θ' ἱκέτῃσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ."
we-may-pour-libation who — suppliants with revered attends

Ὣς φάτο, Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα,
So he-spoke Pontonous and honey-sweet wine mixed
νώμησεν δ' ἄρα πᾶσιν ἐπαρξάμενος δεπάεσσιν.
distributed and then to-all having-poured-first-drops into-cups
αὐτὰρ ἐπεὶ σπείσάν τ' ἔπιόν θ', ὅσον ἤθελε θυμός,
but when they-had-poured-libation both drunk and as-much-as wished the-heart
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε·
to-them and Alcinous addressed-the-assembly and spoke-among(-them)
"Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Hear of-the-Phaeacians leaders and rulers
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me heart in breast bids
νῦν μὲν δαισάμενοι κατακείετε οἴκαδ' ἰόντες·
now indeed having-feasted lie-down home going
ἠῶθεν δὲ γέροντας ἐπὶ πλέονας καλέσαντες
at-dawn and elders over more having-called
ξεῖνον ἐνὶ μεγάροις ξεινίσσομεν ἠδὲ θεοῖσιν
the-stranger in the-halls let-us-entertain and to-the-gods
ῥέξομεν ἱερὰ καλά, ἔπειτα δὲ καὶ περὶ πομπῆς
let-us-offer sacrifices fair then and also about escort
μνησόμεθ', ὥς χ' ὁ ξεῖνος ἄνευθε πόνου καὶ ἀνίης
let-us-think how — the stranger without toil and distress
πομπῇ ὑφ' ἡμετέρῃ ἧν πατρίδα γαῖαν ἵκηται
by-escort under our his-own native land may-reach
χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐστί,
rejoicing quickly if even very from-afar he-is
μηδέ τι μεσσηγύς γε κακὸν καὶ πῆμα πάθῃσι,
nor any in-between indeed evil and harm may-suffer

πρίν γε τὸν ἧς γαίης ἐπιβήμεναι· ἔνθα δ' ἔπειτα
before indeed he his-own land to-set-foot-on there and then
πείσεται, ἅσσα οἱ αἶσα κατὰ κλῶθές τε βαρεῖαι
he-will-suffer whatever for-him fate down the-Spinners and heavy
γιγνομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.
at-his-birth spun with-thread when him bore the-mother
εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰλήλουθεν,
if but some of-the-immortals indeed from heaven has-come
ἄλλο τι δὴ τόδ' ἔπειτα θεοὶ περιμηχανόωνται.
other something indeed this then the-gods are-devising
αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς
always for the before indeed the-gods appear manifest
ἡμῖν, εὖτ' ἔρδωμεν ἀγακλειτὰς ἑκατόμβας,
to-us when we-offer glorious hecatombs
δαίνυνταί τε παρ' ἄμμι καθήμενοι ἔνθα περ ἡμεῖς.
feast both beside us sitting where indeed we
εἰ δ' ἄρα τις καὶ μοῦνος ἰὼν ξύμβληται ὁδίτης,
if and then one even alone going meets(-them) a-wayfarer
οὔ τι κατακρύπτουσιν, ἐπεί σφισιν ἐγγύθεν εἰμέν,
not at-all do-they-hide since to-them near we-are
ὥς περ Κύκλωπές τε καὶ ἄγρια φῦλα Γιγάντων."
as indeed the-Cyclopes both and the-savage tribes of-Giants

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Ἀλκίνο', ἄλλο τί τοι μελέτω φρεσίν· οὐ γὰρ ἐγώ γε
Alcinous other something to-you let-be-of-concern in-mind not for I indeed
ἀθανάτοισιν ἔοικα, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
to-the-immortals am-like who heaven broad hold
οὐ δέμας οὐδὲ φυήν, ἀλλὰ θνητοῖσι βροτοῖσιν.
not in-form nor in-stature but to-mortal men

οὕς τινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀιζὺν
whom ever you know most bearing misery
ἀνθρώπων, τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην.
of-men with-them — in pains I-would-be-equaled
καὶ δ' ἔτι κεν καὶ μᾶλλον ἐγὼ κακὰ μυθησαίμην,
and — still — even more I evils could-tell
ὅσσα γε δὴ ξύμπαντα θεῶν ἰότητι μόγησα.
as-many-as indeed truly all of-the-gods by-the-will I-toiled
ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ·
but me indeed to-sup allow grieving though
οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
not for at-all hateful upon belly more-shameless other-thing
ἔπλετο, ἥ τ' ἐκέλευσεν ἔο μνήσασθαι ἀνάγκῃ
is which — bids it to-remember by-necessity
καὶ μάλα τειρόμενον καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα,
even very being-worn-down and in mind grief having
ὡς καὶ ἐγὼ πένθος μὲν ἔχω φρεσίν, ἡ δὲ μάλ' αἰεὶ
as also I grief indeed have in-mind it and very always
ἐσθέμεναι κέλεται καὶ πινέμεν, ἐκ δέ με πάντων
to-eat bids and to-drink from and me all
ληθάνει ὅσσ' ἔπαθον, καὶ ἐνιπλησθῆναι ἀνώγει.
makes-forget as-much-as I-suffered and to-be-filled bids
ὑμεῖς δ' ὀτρύνεσθαι ἅμ' ἠοῖ φαινομένηφιν,
you and make-haste at dawn appearing
ὥς κ' ἐμὲ τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης
so-that — me the wretched my you-may-set-on country
καί περ πολλὰ παθόντα· ἰδόντα με καὶ λίποι αἰὼν
even though many having-suffered seeing(-it) me even may-leave life
κτῆσιν ἐμήν, δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα."
possessions my slaves both and high-roofed great house

When the guests have gone, Arete recognizes the clothes Odysseus wears as her own work and asks who he is and who gave them to him. He tells of Calypso's island, where he stayed seven years, the raft, Poseidon's storm, and his landing. He says that he found her daughter on the shore and entreated her, and that she, wiser than her years, fed him, bathed him, and gave him these clothes.

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον
So he-spoke they and then all approved and urged
πεμπέμεναι τὸν ξεῖνον, ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
to-send the stranger since according-to due he-had-spoken
αὐτὰρ ἐπεὶ σπείσάν τ' ἔπιον θ' ὅσον ἤθελε θυμός,
but when they-had-poured-libation both drunk and as-much-as wished the-heart
οἱ μὲν κακκείοντες ἔβαν οἰκόνδε ἕκαστος,
they indeed going-to-bed went homeward each
αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
but he in the-hall remained-behind noble Odysseus
πὰρ δέ οἱ Ἀρήτη τε καὶ Ἀλκίνοος θεοειδὴς
beside and him Arete both and Alcinous godlike
ἥσθην· ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός.
sat handmaids and cleared-away the-utensils of-the-feast
τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων·
to-them and Arete white-armed began of-speeches
ἔγνω γὰρ φᾶρός τε χιτῶνά τε εἵματ' ἰδοῦσα
she-knew for the-cloak both tunic and clothes seeing
καλά, τά ῥ' αὐτὴ τεῦξε σὺν ἀμφιπόλοισι γυναιξί·
fair which then she-herself made with handmaid women
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed

"Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
Stranger this indeed you first I will-ask myself
τίς, πόθεν εἰς ἀνδρῶν; τίς τοι τάδε εἵματ' ἔδωκεν;
who whence are-you of-men who to-you these clothes gave
οὐ δὴ φῆς ἐπὶ πόντον ἀλώμενος ἐνθάδ' ἱκέσθαι;"
not indeed do-you-say over the-sea wandering here to-have-come
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Her and answering addressed of-many-wiles Odysseus
" Ἀργαλέον, βασίλεια, διηνεκέως ἀγορεῦσαι
Grievous queen fully to-tell
κήδε', ἐπεί μοι πολλὰ δόσαν θεοὶ Οὐρανίωνες·
the-troubles since to-me many gave the-gods Heavenly
τοῦτο δέ τοι ἐρέω ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
this but to-you I-will-tell which me you-ask and inquire
Ὠγυγίη τις νῆσος ἀπόπροθεν εἰν ἁλὶ κεῖται·
Ogygia a-certain island far-off in the-sea lies
ἔνθα μὲν Ἄτλαντος θυγάτηρ, δολόεσσα Καλυψὼ
there indeed of-Atlas the-daughter crafty Calypso
ναίει ἐυπλόκαμος, δεινὴ θεός· οὐδέ τις αὐτῇ
dwells fair-tressed dread goddess nor any with-her
μίσγεται οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων.
consorts neither of-gods nor of-mortal men
ἀλλ' ἐμὲ τὸν δύστηνον ἐφέστιον ἤγαγε δαίμων
but me the wretched at-her-hearth led a-god
οἷον, ἐπεί μοι νῆα θοὴν ἀργῆτι κεραυνῷ
alone since my ship swift with-dazzling thunderbolt
Ζεὺς ἔλασας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Zeus having-hemmed-in shattered the-middle in wine-dark sea
ἔνθ' ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
there others indeed all perished noble comrades

αὐτὰρ ἐγὼ τρόπιν ἀγκὰς ἑλὼν νεὸς ἀμφιελίσσης
but I the-keel in-arms having-taken of-the-ship curved
ἐννῆμαρ φερόμην· δεκάτῃ δέ με νυκτὶ μελαίνῃ
for-nine-days was-borne on-the-tenth and me night black
νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ
island to Ogygia brought the-gods where Calypso
255 ναίει ἐυπλόκαμος, δεινὴ θεός, ἥ με λαβοῦσα
dwells fair-tressed dread goddess who me taking
ἐνδυκέως ἐφίλει τε καὶ ἔτρεφεν ἠδὲ ἔφασκε
kindly loved both and nurtured and declared
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα·
to-make(-me) immortal and ageless days all
ἀλλ᾽ ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.
but my not ever heart in breast she-persuaded
ἔνθα μὲν ἑπτάετες μένον ἔμπεδον, εἵματα δ᾽ αἰεὶ
there indeed seven-years I-stayed steadfastly the-clothes and always
260 δάκρυσι δεύεσκον, τά μοι ἄμβροτα δῶκε Καλυψώ·
with-tears I-kept-wetting which to-me immortal gave Calypso
ἀλλ᾽ ὅτε δὴ ὀγδόατόν μοι ἐπιπλόμενον ἔτος ἦλθεν,
but when indeed the-eighth to-me revolving year came
καὶ τότε δή μ᾽ ἐκέλευσεν ἐποτρύνουσα νέεσθαι
and then indeed me she-bade urging to-return
Ζηνὸς ὑπ᾽ ἀγγελίης, ἢ καὶ νόος ἐτράπετ᾽ αὐτῆς.
of-Zeus by message or even mind was-turned her
πέμπε δ᾽ ἐπὶ σχεδίης πολυδέσμου, πολλὰ δ᾽ ἔδωκε,
she-sent(-me) and on a-raft many-bound much and she-gave
265 σῖτον καὶ μέθυ ἡδύ, καὶ ἄμβροτα εἵματα ἕσσεν,
bread and wine sweet and immortal clothes put-on(-me)
οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.
fair-wind and she-sent-forth harmless both warm and

ἑπτὰ δὲ καὶ δέκα μὲν πλέον ἤματα ποντοπορεύων,
seven and and ten indeed I-sailed days crossing-the-sea
ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
on-the-eighteenth and appeared the-mountains shadowy
γαίης ὑμετέρης, γήθησε δέ μοι φίλον ἦτορ
of-land your rejoiced and my dear heart
δυσμόρῳ· ἦ γὰρ ἔμελλον ἔτι ξυνέσεσθαι ὀιζυῖ
ill-fated truly for I-was-to still to-be-with misery
πολλῇ, τήν μοι ἐπῶρσε Ποσειδάων ἐνοσίχθων,
much which on-me roused Poseidon earth-shaker
ὅς μοι ἐφορμήσας ἀνέμους κατέδησε κέλευθον,
who on-me having-stirred-up winds bound the-path
ὤρινεν δὲ θάλασσαν ἀθέσφατον, οὐδέ τι κῦμα
roused and the-sea unspeakable nor at-all the-wave
εἴα ἐπὶ σχεδίης ἁδινὰ στενάχοντα φέρεσθαι.
allowed on the-raft thickly groaning to-be-carried
τὴν μὲν ἔπειτα θύελλα διεσκέδασ'· αὐτὰρ ἐγώ γε
it indeed then the-storm scattered but I indeed
νηχόμενος τόδε λαῖτμα διέτμαγον, ὄφρα με γαίῃ
swimming this gulf cleft until me to-land
ὑμετέρῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ.
your brought bearing wind both and water
ἔνθα κέ μ' ἐκβαίνοντα βιήσατο κῦμ' ἐπὶ χέρσου,
there — me landing would-have-overpowered the-wave on the-shore
πέτρῃς πρὸς μεγάλῃσι βαλὸν καὶ ἀτερπέι χώρῳ·
on-rocks against great dashing(-me) and in-cheerless place
ἀλλ' ἀναχασσάμενος νῆχον πάλιν, ἧος ἐπῆλθον
but drawing-back I-swam again until I-came
ἐς ποταμόν, τῇ δή μοι ἐείσατο χῶρος ἄριστος,
to the-river where indeed to-me seemed the-place best

λεῖος πετράων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο.
smooth from-rocks and on shelter there-was from-the-wind
ἐκ δ' ἔπεσον θυμηγερέων, ἐπὶ δ' ἀμβροσίη νὺξ
out and I-fell gathering-my-spirit on and immortal night
ἤλυθ'. ἐγὼ δ' ἀπάνευθε διιπετέος ποταμοῖο
came I and apart-from of-the-Zeus-fed river
285 ἐκβὰς ἐν θάμνοισι κατέδραθον, ἀμφὶ δὲ φύλλα
having-stepped-out in bushes lay-down-to-sleep around and leaves
ἠφυσάμην· ὕπνον δὲ θεὸς κατ' ἀπείρονα χεῦεν.
I-heaped sleep and a-god down boundless poured
ἔνθα μὲν ἐν φύλλοισι φίλον τετιημένος ἦτορ
there indeed in leaves dear grieved heart
εὗδον παννύχιος καὶ ἐπ' ἠῶ καὶ μέσον ἦμαρ.
I-slept all-night and to dawn and middle day
δείλετό τ' ἠέλιος καί με γλυκὺς ὕπνος ἀνῆκεν.
declined both the-sun and me sweet sleep released
290 ἀμφιπόλους δ' ἐπὶ θινὶ τεῆς ἐνόησα θυγατρὸς
handmaids and on the-shore of-your I-saw daughter
παιζούσας, ἐν δ' αὐτὴ ἔην εἰκυῖα θεῇσι·
playing among and she-herself was like to-goddesses
τὴν ἱκέτευσ'· ἡ δ' οὔ τι νοήματος ἤμβροτεν ἐσθλοῦ,
her I-entreated she and not at-all of-sense fell-short good
ὡς οὐκ ἂν ἔλποιο νεώτερον ἀντιάσαντα
as not — you-would-expect a-younger-one meeting(-you)
ἐρξέμεν· αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν.
to-act always for — younger-ones are-thoughtless

ἥ μοι σῖτον ἔδωκεν ἅλις ἠδ᾽ αἴθοπα οἶνον
who to-me bread gave enough and sparkling wine
καὶ λοῦσ᾽ ἐν ποταμῷ καί μοι τάδε εἵματ᾽ ἔδωκε.
and bathed(-me) in the-river and to-me these clothes gave
ταῦτά τοι ἀχνύμενός περ ἀληθείην κατέλεξα.᾽᾽
these-things to-you grieving though truth I-have-recounted

VII.5 · ALCINOUS' PROMISE

Alcinous faults Nausicaa for not bringing the stranger home herself, but Odysseus says that he refused out of caution. Alcinous wishes such a man would marry his daughter and stay, but says no one will keep him unwilling. He promises a ship tomorrow, however far away his home, since Phaeacian ships once took Rhadamanthus to Euboea and back in one day. Odysseus prays that Alcinous' promise be fulfilled, and they sleep.

Τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Alcinous answered spoke and
᾽᾽Ξεῖν᾽, ἦ τοι μὲν τοῦτό γ᾽ ἐναίσιμον οὐκ ἐνόησε
Stranger truly indeed indeed this indeed fitting not thought
παῖς ἐμή, οὕνεκά σ᾽ οὔ τι μετ᾽ ἀμφιπόλοισι γυναιξὶν
child my because you not at-all with handmaid women
ἦγεν ἐς ἡμέτερον, σὺ δ᾽ ἄρα πρώτην ἱκέτευσας.᾽᾽
led to our(-house) you and then first entreated
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
᾽᾽ Ἥρως, μή τοι τοὔνεκ᾽ ἀμύμονα νείκεε κούρην·
Hero not you-know on-that-account blameless rebuke the-maiden
ἡ μὲν γάρ μ᾽ ἐκέλευε σὺν ἀμφιπόλοισιν ἕπεσθαι,
she indeed for me bade with handmaids to-follow

ἀλλ᾽ ἐγὼ οὐκ ἔθελον δείσας αἰσχυνόμενός τε,
but I not wished fearing being-ashamed and
μή πως καὶ σοὶ θυμὸς ἐπισκύσσαιτο ἰδόντι·
lest somehow also your heart might-be-angered seeing(-it)
δύσζηλοι γάρ τ᾽ εἰμὲν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων.᾽᾽
jealous for — we-are on earth the-tribes of-men
Τὸν δ᾽ αὖτ᾽ Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Alcinous answered spoke and
᾽᾽Ξεῖν᾽, οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ
Stranger not my such in breast dear heart
μαψιδίως κεχολῶσθαι· ἀμείνω δ᾽ αἴσιμα πάντα.
rashly to-be-angered better and fitting-things all
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
if-only for Zeus both father and Athena and Apollo
τοῖος ἐὼν οἷός ἐσσι, τά τε φρονέων ἅ τ᾽ ἐγώ περ,
such being as you-are the-same-things both thinking which and I indeed
παῖδά τ᾽ ἐμὴν ἐχέμεν καὶ ἐμὸς γαμβρὸς καλέεσθαι
child and my to-have and my son-in-law to-be-called
αὖθι μένων· οἶκον δέ κ᾽ ἐγὼ καὶ κτήματα δοίην,
here remaining a-house and — I and possessions would-give
εἴ κ᾽ ἐθέλων γε μένοις· ἀέκοντα δέ σ᾽ οὔ τις ἐρύξει
if — willing indeed you-should-remain unwilling but you not anyone will-hold-back
Φαιήκων· μὴ τοῦτο φίλον Διὶ πατρὶ γένοιτο.
of-the-Phaeacians not this dear to-Zeus father may-it-be
πομπὴν δ᾽ ἐς τόδ᾽ ἐγὼ τεκμαίρομαι, ὄφρ᾽ ἐὺ εἰδῇς,
escort and for this I appoint so-that well you-may-know

αὔριον ἔς· τῆμος δὲ σὺ μὲν δεδμημένος ὕπνῳ
tomorrow for then and you indeed overcome by-sleep
λέξεαι, οἱ δ' ἐλόωσι γαλήνην, ὄφρ' ἂν ἵκηαι
will-lie they and will-row the-calm until — you-reach
πατρίδα σὴν καὶ δῶμα, καὶ εἴ πού τοι φίλον ἐστίν,
country your and house and if somewhere to-you dear it-is
εἴ περ καὶ μάλα πολλὸν ἑκαστέρω ἔστ' Εὐβοίης,
if indeed and very far farther is than-Euboea
τήν περ τηλοτάτω φάσ' ἔμμεναι, οἵ μιν ἴδοντο
which indeed farthest they-say to-be who it saw
λαῶν ἡμετέρων, ὅτε τε ξανθὸν Ῥαδάμανθυν
of-people our when — fair-haired Rhadamanthus
ἦγον ἐποψόμενον Τιτυὸν Γαιήιον υἱόν.
they-took to-visit Tityus Earth's son
καὶ μὲν οἱ ἔνθ' ἦλθον καὶ ἄτερ καμάτοιο τέλεσσαν
and indeed they there went and without toil accomplished(-it)
ἤματι τῷ αὐτῷ καὶ ἀπήνυσαν οἴκαδ' ὀπίσσω.
on-day that same and completed(-the-way) home back
εἰδήσεις δὲ καὶ αὐτὸς ἐνὶ φρεσὶν ὅσσον ἄρισται
you-will-know and also yourself in mind how-far best
νῆες ἐμαὶ καὶ κοῦροι ἀναρρίπτειν ἅλα πηδῷ."
ships my and youths to-toss-up the-sea with-the-oar-blade
Ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
So he-spoke rejoiced and much-enduring noble Odysseus
εὐχόμενος δ' ἄρα εἶπεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
praying and then he-spoke word and spoke out and named(-him)

"Ζεῦ πάτερ, αἴθ' ὅσα εἶπε τελευτήσειεν ἅπαντα
Zeus father would-that as-much-as he-said may-accomplish all
Ἀλκίνοος· τοῦ μέν κεν ἐπὶ ζείδωρον ἄρουραν
Alcinous his indeed — over grain-giving earth
ἄσβεστον κλέος εἴη, ἐγὼ δέ κε πατρίδ' ἱκοίμην."
unquenchable fame would-be I and — native-land would-reach
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke
κέκλετο δ' Ἀρήτη λευκώλενος ἀμφιπόλοισιν
called and Arete white-armed to-the-handmaids
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ
bedsteads under the-portico to-place and blankets fair
πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας
purple to-throw-on to-spread and above rugs
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἔσασθαι.
cloaks and to-put-in woolly above to-wear
αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι·
they and went from the-hall a-torch in hands holding
αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
but when they-had-spread the-close bed hastening
ὦτρυνον δ' Ὀδυσῆα παριστάμεναι ἐπέεσσιν·
they-urged and Odysseus standing-by with-words
" Ὄρσο κέων, ὦ ξεῖνε· πεποίηται δέ τοι εὐνή."
Rise to-sleep O stranger is-made and for-you the-bed
Ὣς φάν, τῷ δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.
So they-spoke to-him and welcome seemed to-lie-down
ὣς ὁ μὲν ἔνθα καθεῦδε πολύτλας δῖος Ὀδυσσεὺς
so he indeed there slept much-enduring noble Odysseus
τρητοῖς ἐν λεχέεσσιν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
corded on bedsteads under the-portico echoing

Ἀλκίνοος δ᾽ ἄρα λέκτο μυχῷ δόμου ὑψηλοῖο,
Alcinous and then lay in-the-inmost-part of-the-house lofty
πὰρ δὲ γυνὴ δέσποινα λέχος πόρσυνε καὶ εὐνήν.
beside and the-wife the-lady bed prepared and couch

BOOK VIII

VIII.1 · THE PHAEACIAN ASSEMBLY

At dawn Athena, in the likeness of the herald, gathers the Phaeacians to see the stranger, and makes Odysseus taller and more imposing. Alcinous orders a ship and fifty-two young men made ready, and invites the princes to a feast. At the feast the blind minstrel Demodocus sings of the quarrel between Odysseus and Achilles. Odysseus weeps behind his cloak, and only Alcinous notices; he proposes contests.

ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
ὄρνυτ' ἄρ' ἐξ εὐνῆς ἱερὸν μένος Ἀλκινόοιο,
rose then from bed the-sacred might of-Alcinous
ἂν δ' ἄρα διογενὴς ὦρτο πτολίπορθος Ὀδυσσεύς.
up and then Zeus-born rose sacker-of-cities Odysseus
τοῖσιν δ' ἡγεμόνευ' ἱερὸν μένος Ἀλκινόοιο
them and led the-sacred might of-Alcinous
Φαιήκων ἀγορήνδ', ἥ σφιν παρὰ νηυσὶ τέτυκτο.
of-the-Phaeacians to-the-assembly which for-them by the-ships was-made
ἐλθόντες δὲ καθῖζον ἐπὶ ξεστοῖσι λίθοισι
coming and they-sat on polished stones
πλησίον. ἡ δ' ἀνὰ ἄστυ μετῴχετο Παλλὰς Ἀθήνη
near-together she and through the-town went-about Pallas Athena
εἰδομένη κήρυκι δαΐφρονος Ἀλκινόοιο,
likened to-the-herald of-wise Alcinous
νόστον Ὀδυσσῆι μεγαλήτορι μητιόωσα,
return for-Odysseus great-hearted devising
καί ῥα ἑκάστῳ φωτὶ παρισταμένη φάτο μῦθον·
and then to-each man standing-beside spoke speech

"Δεῦτ' ἄγε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Come-here come of-the-Phaeacians leaders and rulers
εἰς ἀγορὴν ἰέναι, ὄφρα ξείνοιο πύθησθε,
to the-assembly to-go so-that of-the-stranger you-may-learn
ὃς νέον Ἀλκινόοιο δαΐφρονος ἵκετο δῶμα
who lately of-Alcinous wise came-to the-house
πόντον ἐπιπλαγχθείς, δέμας ἀθανάτοισιν ὁμοῖος."
the-sea having-wandered-over in-form to-immortals like
Ὣς εἰποῦσ' ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
So having-spoken she-roused the-strength and heart of-each
καρπαλίμως δ' ἔμπλητο βροτῶν ἀγοραί τε καὶ ἕδραι
swiftly and were-filled of-mortals the-meeting-places both and seats
ἀγρομένων· πολλοὶ δ' ἄρ' ἐθηήσαντο ἰδόντες
gathering many and then marveled seeing
υἱὸν Λαέρταο δαΐφρονα· τῷ δ' ἄρ' Ἀθήνη
the-son of-Laertes wise on-him and then Athena
θεσπεσίην κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις
wondrous shed grace on-head both and shoulders
καί μιν μακρότερον καὶ πάσσονα θῆκεν ἰδέσθαι,
and him taller and stouter made to-see
ὥς κεν Φαιήκεσσι φίλος πάντεσσι γένοιτο
so-that — to-the-Phaeacians dear to-all he-might-be
δεινός τ' αἰδοῖός τε καὶ ἐκτελέσειεν ἀέθλους
dread both revered and and might-accomplish contests
πολλούς, τοὺς Φαίηκες ἐπειρήσαντ' Ὀδυσῆος.
many in-which the-Phaeacians made-trial of-Odysseus
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,
but when then they-were-gathered assembled and had-become
τοῖσιν δ' Ἀλκίνοος ἀγορήσατο καὶ μετέειπε·
to-them and Alcinous addressed-the-assembly and spoke-among(-them)

"Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Hear of-the-Phaeacians leaders and rulers
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
so-that I-may-say what me heart in breast bids
ξεῖνος ὅδ', οὐκ οἶδ' ὅς τις, ἀλώμενος ἵκετ' ἐμὸν δῶ,
the-stranger this not I-know who any wandering came-to my house
ἠὲ πρὸς ἠοίων ἢ ἑσπερίων ἀνθρώπων·
whether from eastern or western men
πομπὴν δ' ὀτρύνει, καὶ λίσσεται ἔμπεδον εἶναι.
escort and he-urges and beseeches steadfast to-be
ἡμεῖς δ', ὡς τὸ πάρος περ, ἐποτρυνώμεθα πομπήν.
we and as the before indeed let-us-urge-on escort
οὐδὲ γὰρ οὐδέ τις ἄλλος, ὅτις κ' ἐμὰ δώματ' ἵκηται,
nor for not-even any other whoever — my house comes-to
ἐνθάδ' ὀδυρόμενος δηρὸν μένει εἵνεκα πομπῆς.
here lamenting long waits for-the-sake of-escort
ἀλλ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν
but come a-ship black let-us-draw into the-sea bright
πρωτόπλοον, κούρω δὲ δύω καὶ πεντήκοντα
first-voyaging youths and two and fifty
κρινάσθων κατὰ δῆμον, ὅσοι πάρος εἰσὶν ἄριστοι.
let-them-be-chosen throughout the-land as-many-as before are best
δησάμενοι δ' εὖ πάντες ἐπὶ κληῖσιν ἐρετμὰ
having-bound and well all on the-benches the-oars
ἔκβητ'· αὐτὰρ ἔπειτα θοὴν ἀλεγύνετε δαῖτα
go-ashore but then swift prepare a-feast
ἡμέτερόνδ' ἐλθόντες· ἐγὼ δ' εὖ πᾶσι παρέξω.
to-our(-house) coming I and well to-all will-provide

κούροισιν μὲν ταῦτ᾽ ἐπιτέλλομαι· αὐτὰρ οἱ ἄλλοι
for-the-youths indeed these-things I-enjoin but the others
σκηπτοῦχοι βασιλῆες ἐμὰ πρὸς δώματα καλὰ
sceptered kings my to house fair
ἔρχεσθ᾽, ὄφρα ξεῖνον ἐνὶ μεγάροισι φιλέωμεν,
come so-that the-stranger in the-halls we-may-entertain
μηδέ τις ἀρνείσθω. καλέσασθε δὲ θεῖον ἀοιδὸν
nor any let-refuse call and the-divine minstrel
Δημόδοκον· τῷ γάρ ῥα θεὸς πέρι δῶκεν ἀοιδὴν
Demodocus to-him for then the-god beyond(-others) gave song
τέρπειν, ὅππῃ θυμὸς ἐποτρύνῃσιν ἀείδειν.”
to-delight in-whatever-way heart urges(-him) to-sing
Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ᾽ ἅμ᾽ ἕποντο
So then having-spoken he-led-the-way they and with(-him) followed
σκηπτοῦχοι· κῆρυξ δὲ μετῴχετο θεῖον ἀοιδόν.
sceptered-ones the-herald and went-for the-divine minstrel
κούρω δὲ κρινθέντε δύω καὶ πεντήκοντα
youths and chosen two and fifty
βήτην, ὡς ἐκέλευσ᾽, ἐπὶ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο.
went as he-bade to the-shore of-the-sea barren
αὐτὰρ ἐπεί ῥ᾽ ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
but when then to the-ship they-had-come-down and the-sea
νῆα μὲν οἵ γε μέλαιναν ἁλὸς βένθοσδε ἔρυσσαν,
the-ship indeed they indeed black of-the-sea into-the-deep drew
ἐν δ᾽ ἱστόν τ᾽ ἐτίθεντο καὶ ἱστία νηὶ μελαίνῃ,
in and mast both they-put and sails in-the-ship black
ἠρτύναντο δ᾽ ἐρετμὰ τροποῖς ἐν δερματίνοισι,
fitted and oars straps in leathern
πάντα κατὰ μοῖραν, ἀνά θ᾽ ἱστία λευκὰ πέτασσαν.
all according-to due up and sails white spread

ὑψοῦ δ᾽ ἐν νοτίῳ τήν γ᾽ ὥρμισαν· αὐτὰρ ἔπειτα
high and in deep-water her indeed they-moored but then
βάν ῥ᾽ ἴμεν Ἀλκινόοιο δαΐφρονος ἐς μέγα δῶμα.
went then to-go of-Alcinous wise to great house
πλῆντο δ᾽ ἄρ᾽ αἴθουσαί τε καὶ ἔρκεα καὶ δόμοι ἀνδρῶν
were-filled and then porticoes both and courts and rooms of-men
ἀγρομένων· πολλοὶ δ᾽ ἄρ᾽ ἔσαν, νέοι ἠδὲ παλαιοί.
gathering many and then were young and old
τοῖσιν δ᾽ Ἀλκίνοος δυοκαίδεκα μῆλ᾽ ἱέρευσεν,
for-them and Alcinous twelve sheep sacrificed
ὀκτὼ δ᾽ ἀργιόδοντας ὕας, δύο δ᾽ εἰλίποδας βοῦς·
eight and white-tusked boars two and shambling oxen
τοὺς δέρον ἀμφί θ᾽ ἔπον, τετύκοντό τε δαῖτ᾽ ἐρατεινήν.
them they-flayed around and dressed made and a-feast lovely
Κῆρυξ δ᾽ ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν,
The-herald and near came leading the-trusty minstrel
τὸν πέρι μοῦσ᾽ ἐφίλησε, δίδου δ᾽ ἀγαθόν τε κακόν τε·
whom beyond(-others) the-muse loved gave and good both evil and
ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ᾽ ἡδεῖαν ἀοιδήν.
of-eyes indeed she-deprived(-him) gave and sweet song
τῷ δ᾽ ἄρα Ποντόνοος θῆκε θρόνον ἀργυρόηλον
for-him and then Pontonous placed a-chair silver-studded
μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας·
in-the-middle of-the-banqueters against pillar tall leaning(-it)
κὰδ δ᾽ ἐκ πασσαλόφι κρέμασεν φόρμιγγα λίγειαν
down and from a-peg he-hung the-lyre clear-toned
αὐτοῦ ὑπὲρ κεφαλῆς καὶ ἐπέφραδε χερσὶν ἑλέσθαι
there above head and showed with-hands to-take(-it)
κῆρυξ· πὰρ δ᾽ ἐτίθει κάνεον καλήν τε τράπεζαν,
the-herald beside and he-placed a-basket fair and table

πὰρ δὲ δέπας οἴνοιο, πιεῖν ὅτε θυμὸς ἀνώγοι.
beside and a-cup of-wine to-drink when heart bade

οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth

αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put

μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι κλέα ἀνδρῶν,
the-muse then the-minstrel roused to-sing the-glories of-men

οἴμης τῆς τότ' ἄρα κλέος οὐρανὸν εὐρὺν ἵκανε,
of-the-lay whose then then the-fame heaven broad reached

νεῖκος Ὀδυσσῆος καὶ Πηλεΐδεω Ἀχιλῆος,
the-quarrel of-Odysseus and of-Peleus'-son Achilles

ὥς ποτε δηρίσαντο θεῶν ἐν δαιτὶ θαλείῃ
how once they-contended of-the-gods at feast abundant

ἐκπάγλοις ἐπέεσσιν, ἄναξ δ' ἀνδρῶν Ἀγαμέμνων
with-violent words lord and of-men Agamemnon

χαῖρε νόῳ, ὅ τ' ἄριστοι Ἀχαιῶν δηριόωντο.
rejoiced in-mind that — the-best of-the-Achaeans contended

ὣς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων
so for to-him prophesying spoke Phoebus Apollo

Πυθοῖ ἐν ἠγαθέῃ, ὅθ' ὑπέρβη λάινον οὐδὸν
at-Pytho in sacred when he-stepped-over the-stone threshold

χρησόμενος· τότε γάρ ῥα κυλίνδετο πήματος ἀρχὴ
to-consult then for then was-rolling of-woe the-beginning

Τρωσί τε καὶ Δαναοῖσι Διὸς μεγάλου διὰ βουλάς.
for-the-Trojans both and the-Danaans of-Zeus great through the-counsels

Ταῦτ᾽ ἄρ᾽ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
These-things then the-minstrel sang far-famed but Odysseus
πορφύρεον μέγα φᾶρος ἑλὼν χερσὶ στιβαρῇσι
purple great cloak taking in-hands stout
κὰκ κεφαλῆς εἴρυσσε, κάλυψε δὲ καλὰ πρόσωπα·
down head drew covered and fair face
αἴδετο γὰρ Φαίηκας ὑπ᾽ ὀφρύσι δάκρυα λείβων.
he-was-ashamed-before for the-Phaeacians beneath brows tears shedding
ἦ τοι ὅτε λήξειεν ἀείδων θεῖος ἀοιδός,
truly indeed when would-cease singing the-divine minstrel
δάκρυ ὀμορξάμενος κεφαλῆς ἄπο φᾶρος ἕλεσκε
the-tear wiping (his)-head from the-cloak he-would-take
καὶ δέπας ἀμφικύπελλον ἑλὼν σπείσασκε θεοῖσιν·
and cup double-handled taking poured-libation to-the-gods
αὐτὰρ ὅτ᾽ ἂψ ἄρχοιτο καὶ ὀτρύνειαν ἀείδειν
but when back he-would-begin and urged(-him) to-sing
Φαιήκων οἱ ἄριστοι, ἐπεὶ τέρποντ᾽ ἐπέεσσιν,
of-the-Phaeacians the best since they-delighted in-the-words
ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος γοάασκεν.
back Odysseus over head covering-himself would-moan
ἔνθ᾽ ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων,
then from-the-others indeed all he-escaped-notice tears shedding
Ἀλκίνοος δέ μιν οἷος ἐπεφράσατ᾽ ἠδ᾽ ἐνόησεν
Alcinous but him alone marked and noticed
ἥμενος ἄγχ᾽ αὐτοῦ, βαρὺ δὲ στενάχοντος ἄκουσεν.
sitting near him heavily and groaning heard
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
at-once and to-the-Phaeacians oar-loving spoke-among(-them)

"Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες.
Hear of-the-Phaeacians leaders and rulers
ἤδη μὲν δαιτὸς κεκορήμεθα θυμὸν ἐίσης
already indeed with-feast we-have-satisfied heart equal
φόρμιγγός θ', ἣ δαιτὶ συνήορός ἐστι θαλείῃ·
of-the-lyre and which with-feast companion is abundant
νῦν δ' ἐξέλθωμεν καὶ ἀέθλων πειρηθῶμεν
now and let-us-go-out and in-contests let-us-make-trial
πάντων, ὥς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν
in-all so-that — the stranger may-tell to-his-own friends
οἴκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
home having-returned how-much we-excel others
πύξ τε παλαιμοσύνῃ τε καὶ ἅλμασιν ἠδὲ πόδεσσιν."
in-boxing both in-wrestling and and in-leaps and in-feet

VIII.2 · THE GAMES

The young Phaeacians compete in running, wrestling, jumping, the discus, and boxing, and Clytoneus, Euryalus, Amphialus, Elatreus, and Laodamas win. Laodamas proposes trying the stranger, and at Euryalus' word invites him to compete, since there is no greater glory than prowess of hand and foot. Odysseus declines, saying his troubles weigh more on him than contests.

Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο.
So then having-spoken he-led-the-way they and with(-him) followed
κὰδ δ' ἐκ πασσαλόφι κρέμασεν φόρμιγγα λίγειαν,
down and from a-peg he-hung the-lyre clear-toned

Δημοδόκου δ' ἕλε χεῖρα καὶ ἔξαγεν ἐκ μεγάροιο
of-Demodocus and he-took the-hand and led(-him) out-of the-hall
κῆρυξ· ἦρχε δὲ τῷ αὐτὴν ὁδὸν ἥν περ οἱ ἄλλοι
the-herald led and him the-same way which indeed the others
Φαιήκων οἱ ἄριστοι, ἀέθλια θαυμανέοντες.
of-the-Phaeacians the best the-contests about-to-admire
βὰν δ' ἴμεν εἰς ἀγορήν, ἅμα δ' ἕσπετο πουλὺς ὅμιλος,
went and to-go to the-assembly together and followed great throng
μυρίοι· ἂν δ' ἵσταντο νέοι πολλοί τε καὶ ἐσθλοί.
countless up and stood young-men many both and noble
ὦρτο μὲν Ἀκρόνεώς τε καὶ Ὠκύαλος καὶ Ἐλατρεύς,
rose indeed Acroneus both and Ocyalus and Elatreus
Ναυτεύς τε Πρυμνεύς τε καὶ Ἀγχίαλος καὶ Ἐρετμεύς,
Nauteus and Prymneus and and Anchialus and Eretmeus
Ποντεύς τε Πρωρεύς τε, Θόων Ἀναβησίνεώς τε
Ponteus and Proreus and Thoon Anabesineus and
Ἀμφίαλός θ', υἱὸς Πολυνήου Τεκτονίδαο·
Amphialus and son of-Polyneus son-of-Tecton
ἂν δὲ καὶ Εὐρύαλος, βροτολοιγῷ ἶσος Ἄρηι,
up and also Euryalus to-man-destroying equal Ares
Ναυβολίδης, ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
son-of-Naubolus who best was in-form both build and
πάντων Φαιήκων μετ' ἀμύμονα Λαοδάμαντα.
of-all Phaeacians after blameless Laodamas
ἂν δ' ἔσταν τρεῖς παῖδες ἀμύμονος Ἀλκινόοιο,
up and stood three sons of-blameless Alcinous
Λαοδάμας θ' Ἅλιός τε καὶ ἀντίθεος Κλυτόνηος.
Laodamas and Halius and and godlike Clytoneus
οἱ δ' ἦ τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσι.
they and truly indeed first indeed made-trial with-feet

τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· οἱ δ' ἅμα πάντες
for-them and from the-turning-post was-stretched the-course they and together all
καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο·
swiftly flew raising-dust of-the-plain
τῶν δὲ θέειν ὄχ' ἄριστος ἔην Κλυτόνηος ἀμύμων·
of-them and to-run by-far best was Clytoneus blameless
ὅσσον τ' ἐν νειῷ οὖρον πέλει ἡμιόνοιιν,
as-far-as — in fallow a-furrow's-length is of-mules
125 τόσσον ὑπεκπροθέων λαοὺς ἵκεθ', οἱ δ' ἐλίποντο.
so-far running-ahead the-people he-reached they and were-left
οἱ δὲ παλαιμοσύνης ἀλεγεινῆς πειρήσαντο·
they and in-wrestling grievous made-trial
τῇ δ' αὖτ' Εὐρύαλος ἀπεκαίνυτο πάντας ἀρίστους.
in-it and in-turn Euryalus surpassed all the-best
ἅλματι δ' Ἀμφίαλος πάντων προφερέστατος ἦεν·
in-leaping and Amphialus of-all foremost was
δίσκῳ δ' αὖ πάντων πολὺ φέρτατος ἦεν Ἐλατρεύς,
in-the-discus and in-turn of-all far best was Elatreus
130 πὺξ δ' αὖ Λαοδάμας, ἀγαθὸς πάις Ἀλκινόοιο.
in-boxing and in-turn Laodamas good son of-Alcinous
αὐτὰρ ἐπεὶ δὴ πάντες ἐτέρφθησαν φρέν' ἀέθλοις,
but when indeed all had-been-gladdened mind in-contests
τοῖς ἄρα Λαοδάμας μετέφη πάις Ἀλκινόοιο·
among-them then Laodamas spoke the-son of-Alcinous
"Δεῦτε, φίλοι, τὸν ξεῖνον ἐρώμεθα εἴ τιν' ἄεθλον
Come-here friends the stranger let-us-ask if any contest
οἶδέ τε καὶ δεδάηκε. φυήν γε μὲν οὐ κακός ἐστι,
he-knows both and has-learned in-build indeed yet not base he-is

μηρούς τε κνήμας τε καὶ ἄμφω χεῖρας ὕπερθεν
thighs both shins and and both hands above
αὐχένα τε στιβαρὸν μέγα τε σθένος· οὐδέ τι ἥβης
neck and stout great and strength nor at-all of-youth
δεύεται, ἀλλὰ κακοῖσι συνέρρηκται πολέεσσιν·
he-lacks but by-evils he-has-been-broken many
οὐ γὰρ ἐγώ γέ τί φημι κακώτερον ἄλλο θαλάσσης
not for I indeed any I-say worse other-thing than-the-sea
ἄνδρα γε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη."
a-man indeed to-break-down if even very strong he-were
Τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Euryalus answered spoke and
"Λαοδάμα, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες.
Laodamas very this word according-to due you-have-spoken
αὐτὸς νῦν προκάλεσσαι ἰὼν καὶ πέφραδε μῦθον."
yourself now challenge(-him) going and declare the-word
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσ' ἀγαθὸς πάις Ἀλκινόοιο,
But when this indeed heard the-good son of-Alcinous
στῆ ῥ' ἐς μέσσον ἰὼν καὶ Ὀδυσσῆα προσέειπε·
he-stood then into the-middle going and Odysseus addressed
"Δεῦρ' ἄγε καὶ σύ, ξεῖνε πάτερ, πείρησαι ἀέθλων,
Hither come also you stranger father make-trial of-contests
εἴ τινά που δεδάηκας· ἔοικε δέ σ' ἴδμεν ἀέθλους·
if any perhaps you-have-learned it-seems and you to-know contests
οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος ὄφρα κ' ἔῃσιν,
not indeed for greater glory of-a-man as-long-as — he-lives
ἢ ὅ τι ποσσίν τε ῥέξῃ καὶ χερσὶν ἑῇσιν.
than what thing with-feet both he-achieves and with-hands his-own
ἀλλ' ἄγε πείρησαι, σκέδασον δ' ἀπὸ κήδεα θυμοῦ.
but come make-trial scatter and away troubles from-heart

σοὶ δ' ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἀλλά τοι ἤδη
for-you and the-journey no-longer long will-be-far but for-you already
νηῦς τε κατείρυσται καὶ ἑπαρτέες εἰσὶν ἑταῖροι."
the-ship both has-been-launched and ready are comrades

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Λαοδάμα, τί με ταῦτα κελεύετε κερτομέοντες;
Laodamas why me these-things do-you-bid mocking
κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἤ περ ἄεθλοι,
troubles for-me even more in mind than indeed contests
ὃς πρὶν μὲν μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα,
who before indeed very much suffered and much toiled
νῦν δὲ μεθ' ὑμετέρῃ ἀγορῇ νόστοιο χατίζων
now and among your assembly for-return longing
ἧμαι, λισσόμενος βασιλῆά τε πάντα τε δῆμον."
I-sit beseeching the-king both all and the-people

VIII.3 · ODYSSEUS THROWS THE DISCUS

Euryalus taunts Odysseus as a merchant, not an athlete. Odysseus answers that Euryalus has beauty but no sense, and without removing his cloak hurls a discus far beyond the others' marks. He challenges any Phaeacian but his host to box, wrestle, or run. Alcinous calms him: the Phaeacians excel in running, sailing, feasting, and dance, and he calls for the dancers and for Demodocus' lyre.

Τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο νείκεσέ τ' ἄντην·
Him and in-turn Euryalus answered reviled(-him) and to-his-face
"Οὐ γάρ σ' οὐδέ, ξεῖνε, δαήμονι φωτὶ ἐίσκω
Not for you even stranger to-a-skilled man I-liken
ἄθλων, οἷά τε πολλὰ μετ' ἀνθρώποισι πέλονται,
in-contests such-as — many among men are

ἀλλὰ τῷ, ὅς θ' ἅμα νηὶ πολυκλήιδι θαμίζων,
but to-one who — with ship many-benched going-to-and-fro
ἀρχὸς ναυτάων οἵ τε πρηκτῆρες ἔασιν,
a-leader of-sailors who — traders are
φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἦσιν ὁδαίων
of-cargo both mindful and an-overseer is of-freights
κερδέων θ' ἁρπαλέων· οὐδ' ἀθλητῆρι ἔοικας."
of-gains and greedy nor to-an-athlete are-you-like
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Him and then from-under looking addressed of-many-wiles Odysseus
"Ξεῖν', οὐ καλὸν ἔειπες· ἀτασθάλῳ ἀνδρὶ ἔοικας.
Stranger not well you-have-spoken to-a-reckless man you-are-like
οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν
so not to-all the-gods graces give
ἀνδράσιν, οὔτε φυὴν οὔτ' ἂρ φρένας οὔτ' ἀγορητύν.
men either build or then wits or eloquence
ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
one indeed for — in-form meaner is man
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς αὐτὸν
but a-god shape with-words crowns they and — at him
τερπόμενοι λεύσσουσιν· ὁ δ' ἀσφαλέως ἀγορεύει
taking-delight look he and unfalteringly speaks
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν,
with-modesty honeyed among and he-is-conspicuous the-gathered
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσιν.
going and through the-town a-god like they-gaze-on(-him)
ἄλλος δ' αὖ εἶδος μὲν ἀλίγκιος ἀθανάτοισιν,
another and in-turn in-form indeed like to-immortals
ἀλλ' οὔ οἱ χάρις ἀμφιπεριστέφεται ἐπέεσσιν,
but not on-him grace is-set-around with-words

ὡς καὶ σοὶ εἶδος μὲν ἀριπρεπές, οὐδέ κεν ἄλλως
as also to-you form indeed most-distinguished nor — otherwise
οὐδὲ θεὸς τεύξειε, νόον δ' ἀποφώλιός ἐσσι.
even a-god could-fashion(-it) mind but empty you-are
ὤρινάς μοι θυμὸν ἐνὶ στήθεσσι φίλοισιν
you-have-stirred my heart in breast dear
εἰπὼν οὐ κατὰ κόσμον. ἐγὼ δ' οὐ νῆις ἀέθλων,
speaking not according-to order I and not unskilled in-contests
ὡς σύ γε μυθεῖαι, ἀλλ' ἐν πρώτοισιν ὀίω
as you indeed say but among the-first I-think
ἔμμεναι, ὄφρ' ἥβῃ τε πεποίθεα χερσί τ' ἐμῇσι.
to-be while in-youth both I-trusted in-hands and my
νῦν δ' ἔχομαι κακότητι καὶ ἄλγεσι· πολλὰ γὰρ ἔτλην
now and I-am-held by-misery and by-pains much for I-endured
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων.
of-men both wars grievous and waves passing-through
ἀλλὰ καὶ ὥς, κακὰ πολλὰ παθών, πειρήσομ' ἀέθλων·
but even so evils many having-suffered I-will-try of-contests
θυμοδακὴς γὰρ μῦθος, ἐπώτρυνας δέ με εἰπών."
heart-biting for the-word you-urged and me speaking
Ἦ ῥα καὶ αὐτῷ φάρει ἀναΐξας λάβε δίσκον
He-spoke then and with-the-very cloak leaping-up took a-discus
μείζονα καὶ πάχετον, στιβαρώτερον οὐκ ὀλίγον περ
bigger and thick stouter not little indeed
ἢ οἵῳ Φαίηκες ἐδίσκεον ἀλλήλοισι.
than what the-Phaeacians threw with-each-other
τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός,
it then having-whirled he-let-fly stout from hand

βόμβησεν δὲ λίθος· κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ
hummed and the-stone down and cowered to the-ground
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες,
the-Phaeacians long-oared ship-famed men
λᾶος ὑπὸ ῥιπῆς· ὁ δ' ὑπέρπτατο σήματα πάντων
of-the-stone under the-rush it and flew-over the-marks of-all
ῥίμφα θέων ἀπὸ χειρός. ἔθηκε δὲ τέρματ' Ἀθήνη
lightly speeding from hand set and the-marks Athena
ἀνδρὶ δέμας ἐικυῖα, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
to-a-man in-form likened word and spoke out and named(-him)
"Καί κ' ἀλαός τοι, ξεῖνε, διακρίνειε τὸ σῆμα
Even — a-blind-man you-know stranger could-distinguish the mark
ἀμφαφόων, ἐπεὶ οὔ τι μεμιγμένον ἐστὶν ὁμίλῳ,
feeling since not at-all mixed it-is with-the-throng
ἀλλὰ πολὺ πρῶτον. σὺ δὲ θάρσει τόνδε γ' ἄεθλον·
but far first you and take-heart in-this indeed contest
οὔ τις Φαιήκων τόδε γ' ἴξεται, οὐδ' ὑπερήσει."
not any of-the-Phaeacians this indeed will-reach nor overshoot
Ὣς φάτο, γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
So she-spoke rejoiced and much-enduring noble Odysseus
χαίρων, οὕνεχ' ἑταῖρον ἐνηέα λεῦσσ' ἐν ἀγῶνι.
rejoicing because a-comrade kindly he-saw in the-contest
καὶ τότε κουφότερον μετεφώνεε Φαιήκεσσιν·
and then more-lightly spoke-among the-Phaeacians
"Τοῦτον νῦν ἀφίκεσθε, νέοι. τάχα δ' ὕστερον ἄλλον
This now reach young-men soon and later another
ἧσειν ἢ τοσσοῦτον ὀίομαι ἢ ἔτι μᾶσσον.
to-send either so-far I-think or still farther
τῶν δ' ἄλλων ὅτινα κραδίη θυμός τε κελεύει,
of-the and others whomever heart spirit and bids

δεῦρ᾽ ἄγε πειρηθήτω, ἐπεί μ᾽ ἐχολώσατε λίην,
hither come let-him-make-trial since me you-have-angered too-much

ἢ πὺξ ἠὲ πάλῃ ἢ καὶ ποσίν, οὔ τι μεγαίρω,
either in-boxing or in-wrestling or even in-feet not at-all I-begrudge

πάντων Φαιήκων, πλήν γ᾽ αὐτοῦ Λαοδάμαντος.
of-all Phaeacians except indeed himself Laodamas

ξεῖνος γάρ μοι ὅδ᾽ ἐστί· τίς ἂν φιλέοντι μάχοιτο;
host for to-me this-one is who — with-one-loving would-fight

ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνήρ,
senseless indeed he indeed and worthless is man

ὅς τις ξεινοδόκῳ ἔριδα προφέρηται ἀέθλων
who any with-his-host strife offers of-contests

δήμῳ ἐν ἀλλοδαπῷ· ἕο δ᾽ αὐτοῦ πάντα κολούει.
a-land in foreign his-own and himself all he-cuts-short

τῶν δ᾽ ἄλλων οὔ πέρ τιν᾽ ἀναίνομαι οὐδ᾽ ἀθερίζω,
of-the and others not indeed any I-refuse nor disregard

ἀλλ᾽ ἐθέλω ἴδμεν καὶ πειρηθήμεναι ἄντην.
but I-wish to-know and to-make-trial face-to-face

πάντα γὰρ οὐ κακός εἰμι, μετ᾽ ἀνδράσιν ὅσσοι ἄεθλοι·
in-all for not bad am-I among men as-many-as contests

εὖ μὲν τόξον οἶδα ἐύξοον ἀμφαφάασθαι·
well indeed a-bow I-know well-polished to-handle

πρῶτός κ᾽ ἄνδρα βάλοιμι ὀιστεύσας ἐν ὁμίλῳ
first — a-man I-would-hit shooting-arrows in the-throng

ἀνδρῶν δυσμενέων, εἰ καὶ μάλα πολλοὶ ἑταῖροι
of-men hostile if even very many comrades

ἄγχι παρασταῖεν καὶ τοξαζοίατο φωτῶν.
near should-stand-by and should-shoot at-the-men

οἷος δή με Φιλοκτήτης ἀπεκαίνυτο τόξῳ
alone indeed me Philoctetes surpassed with-the-bow
δήμῳ ἔνι Τρώων, ὅτε τοξαζοίμεθ' Ἀχαιοί.
the-land in of-the-Trojans when we-shot-the-bow Achaeans
τῶν δ' ἄλλων ἐμέ φημι πολὺ προφερέστερον εἶναι,
of-the and others me I-say much more-excellent to-be
ὅσσοι νῦν βροτοί εἰσιν ἐπὶ χθονὶ σῖτον ἔδοντες.
as-many-as now mortals are on earth bread eating
ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω,
with-men but earlier to-vie not I-will-wish
οὔθ' Ἡρακλῆι οὔτ' Εὐρύτῳ Οἰχαλιῆι,
either with-Heracles or with-Eurytus of-Oechalia
οἵ ῥα καὶ ἀθανάτοισιν ἐρίζεσκον περὶ τόξων.
who then even with-immortals vied about bows
τῷ ῥα καὶ αἶψ' ἔθανεν μέγας Εὔρυτος, οὐδ' ἐπὶ γῆρας
therefore then also quickly died great Eurytus nor to old-age
ἵκετ' ἐνὶ μεγάροισι· χολωσάμενος γὰρ Ἀπόλλων
came in the-halls having-grown-angry for Apollo
ἔκτανεν, οὕνεκά μιν προκαλίζετο τοξάζεσθαι.
killed(-him) because him he-challenged to-shoot-the-bow
δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀιστῷ.
with-the-spear and I-hurl as-far-as not other any with-an-arrow
οἷοισιν δείδοικα ποσὶν μή τίς με παρέλθῃ
only I-fear in-feet lest any me may-pass
Φαιήκων· λίην γὰρ ἀεικελίως ἐδαμάσθην
of-the-Phaeacians too for shamefully I-was-subdued
κύμασιν ἐν πολλοῖς, ἐπεὶ οὐ κομιδὴ κατὰ νῆα
by-waves among many since not care on-board ship
ἦεν ἐπηετανός· τῷ μοι φίλα γυῖα λέλυνται."
was continual therefore my dear limbs are-loosed

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
So he-spoke they and then all silent became in-silence

Ἀλκίνοος δέ μιν οἷος ἀμειβόμενος προσέειπεν·
Alcinous but him alone answering addressed

"Ξεῖν', ἐπεὶ οὐκ ἀχάριστα μεθ' ἡμῖν ταῦτ' ἀγορεύεις,
Stranger since not ungraciously among us these-things you-say

ἀλλ' ἐθέλεις ἀρετὴν σὴν φαινέμεν, ἥ τοι ὀπηδεῖ,
but you-wish excellence your to-show which you attends

χωόμενος ὅτι σ' οὗτος ἀνὴρ ἐν ἀγῶνι παραστὰς
being-angry that you this man in the-contest standing-by

νείκεσεν, ὡς ἂν σὴν ἀρετὴν βροτὸς οὔ τις ὄνοιτο,
reviled as — your excellence mortal not any would-belittle

ὅς τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν·
who any should-know in-his-own mind fitting-things to-speak

ἀλλ' ἄγε νῦν ἐμέθεν ξυνίει ἔπος, ὄφρα καὶ ἄλλῳ
but come now from-me understand word so-that also to-another

εἴπῃς ἡρώων, ὅτε κεν σοῖς ἐν μεγάροισι
you-may-tell of-the-heroes when — your in halls

δαινύῃ παρὰ σῇ τ' ἀλόχῳ καὶ σοῖσι τέκεσσιν,
you-feast beside your both wife and your children

ἡμετέρης ἀρετῆς μεμνημένος, οἷα καὶ ἡμῖν
our excellence remembering such-as also on-us

Ζεὺς ἐπὶ ἔργα τίθησι διαμπερὲς ἐξ ἔτι πατρῶν.
Zeus on works puts continually from even fathers'(-time)

οὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,
not for boxers we-are blameless nor wrestlers

ἀλλὰ ποσὶ κραιπνῶς θέομεν καὶ νηυσὶν ἄριστοι,
but in-feet swiftly we-run and in-ships best

αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε
always and for-us feast both dear lyre both dances and
εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.
clothes and for-changing baths both warm and beds
ἀλλ' ἄγε, Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι,
but come of-the-Phaeacians dancers as-many-as best
παίσατε, ὥς χ' ὁ ξεῖνος ἐνίσπῃ οἷσι φίλοισιν
play so-that — the stranger may-tell to-his-own friends
οἶκαδε νοστήσας, ὅσσον περιγιγνόμεθ' ἄλλων
home having-returned how-much we-excel others
ναυτιλίῃ καὶ ποσσὶ καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ.
in-seafaring and in-feet and in-dance and in-song
Δημοδόκῳ δέ τις αἶψα κιὼν φόρμιγγα λίγειαν
for-Demodocus and someone quickly going the-lyre clear-toned
οἰσέτω, ἥ που κεῖται ἐν ἡμετέροισι δόμοισιν."
let-bring which somewhere lies in our house

VIII.4 · THE SONG OF ARES AND APHRODITE

Demodocus sings how Ares lay with Aphrodite in Hephaestus' house, and Helios told Hephaestus. The smith forged invisible bonds around his bed, feigned a journey to Lemnos, and caught the lovers. He called the gods to see; the goddesses stayed home, and the gods laughed, Hermes saying he would gladly take Ares' place. Poseidon promised that Ares would pay the adulterer's fine. Released, Ares went to Thrace and Aphrodite to Paphos.

Ὣς ἔφατ' Ἀλκίνοος θεοείκελος, ὦρτο δὲ κῆρυξ
So he-spoke Alcinous godlike rose and the-herald
οἶσων φόρμιγγα γλαφυρὴν δόμου ἐκ βασιλῆος.
to-bring the-lyre hollow the-house from of-the-king

αἰσυμνῆται δὲ κριτοὶ ἐννέα πάντες ἀνέσταν
umpires and chosen nine all stood-up
δήμιοι, οἳ κατ᾽ ἀγῶνας ἐὺ πρήσσεσκον ἕκαστα,
public who at contests well ordered each-thing
λείηναν δὲ χορόν, καλὸν δ᾽ εὖρυναν ἀγῶνα.
they-leveled and a-dancing-floor fair and widened the-ring
κῆρυξ δ᾽ ἐγγύθεν ἦλθε φέρων φόρμιγγα λίγειαν
the-herald and near came bringing the-lyre clear-toned
Δημοδόκῳ· ὁ δ᾽ ἔπειτα κἰ ἐς μέσον· ἀμφὶ δὲ κοῦροι
for-Demodocus he and then went into the-middle around and youths
πρωθῆβαι ἵσταντο, δαήμονες ὀρχηθμοῖο,
in-first-youth stood skilled in-dancing
πέπληγον δὲ χορὸν θεῖον ποσίν. αὐτὰρ Ὀδυσσεὺς
they-struck and the-dancing-floor divine with-feet but Odysseus
μαρμαρυγὰς θηεῖτο ποδῶν, θαύμαζε δὲ θυμῷ.
the-twinklings gazed-at of-the-feet marveled and in-heart
Αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν
But he playing-the-lyre struck-up beautifully to-sing
ἀμφ᾽ Ἄρεος φιλότητος εὐστεφάνου τ᾽ Ἀφροδίτης,
about of-Ares the-love of-fair-crowned and Aphrodite
ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισι
how the first they-lay-together in of-Hephaestus the-house
λάθρῃ, πολλὰ δ᾽ ἔδωκε, λέχος δ᾽ ᾔσχυνε καὶ εὐνὴν
secretly many-things and he-gave the-bed and shamed and the-couch
Ἡφαίστοιο ἄνακτος. ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν
of-Hephaestus lord straightway and to-him a-messenger came
Ἥλιος, ὅ σφ᾽ ἐνόησε μιγαζομένους φιλότητι.
Helios who them saw mingling in-love
Ἥφαιστος δ᾽ ὡς οὖν θυμαλγέα μῦθον ἄκουσε,
Hephaestus and when then heart-grieving tale heard

βῆ ῥ᾽ ἴμεν ἐς χαλκεῶνα κακὰ φρεσὶ βυσσοδομεύων,
went then to-go to the-smithy evils in-mind brooding
ἐν δ᾽ ἔθετ᾽ ἀκμοθέτῳ μέγαν ἄκμονα, κόπτε δὲ δεσμοὺς
in and he-set on-the-anvil-block great anvil forged and bonds
ἀρρήκτους ἀλύτους, ὄφρ᾽ ἔμπεδον αὖθι μένοιεν.
unbreakable unloosable so-that firmly there they-might-remain
αὐτὰρ ἐπεὶ δὴ τεῦξε δόλον κεχολωμένος Ἄρει,
but when indeed he-had-made the-trap angered at-Ares
βῆ ῥ᾽ ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνι᾽ ἔκειτο,
went then to-go to the-chamber where his dear bed lay
ἀμφὶ δ᾽ ἄρ᾽ ἑρμῖσιν χέε δέσματα κύκλῳ ἁπάντῃ·
around and then the-bedposts he-poured bonds in-a-circle on-every-side
πολλὰ δὲ καὶ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο,
many and also from-above from-the-roof-beam were-poured-down
ἠύτ᾽ ἀράχνια λεπτά, τά γ᾽ οὔ κέ τις οὐδὲ ἴδοιτο,
like spider-webs fine which indeed not — anyone not-even could-see
οὐδὲ θεῶν μακάρων· πέρι γὰρ δολόεντα τέτυκτο.
not-even of-the-gods blessed beyond(-all) for cunning they-were-made
αὐτὰρ ἐπεὶ δὴ πάντα δόλον περὶ δέμνια χεῦεν,
but when indeed all the-trap around the-bed he-had-poured
εἴσατ᾽ ἴμεν ἐς Λῆμνον, ἐυκτίμενον πτολίεθρον,
he-feigned to-go to Lemnos well-built citadel
ἥ οἱ γαιάων πολὺ φιλτάτη ἐστὶν ἁπασέων.
which to-him of-lands by-far dearest is of-all
οὐδ᾽ ἀλαοσκοπιὴν εἶχε χρυσήνιος Ἄρης,
nor blind-watch kept golden-reined Ares
ὡς ἴδεν Ἥφαιστον κλυτοτέχνην νόσφι κιόντα·
when he-saw Hephaestus famed-artisan apart going

βῆ δ' ἰέναι πρὸς δῶμα περικλυτοῦ Ἡφαίστοιο
went and to-go to the-house of-very-famous Hephaestus
ἰσχανόων φιλότητος ἐυστεφάνου Κυθερείης.
longing for-the-love of-fair-crowned Cytherea
ἡ δὲ νέον παρὰ πατρὸς ἐρισθενέος Κρονίωνος
she and lately from father mighty son-of-Cronus
ἐρχομένη κατ' ἄρ' ἕζεθ'· ὁ δ' εἴσω δώματος ἦει,
coming down then sat he and into the-house went
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then her he-clung to-hand word and spoke out and named(-her)
"Δεῦρο, φίλη, λέκτρονδε τραπείομεν εὐνηθέντες·
Hither dear to-bed let-us-take-our-pleasure having-lain-down
οὐ γὰρ ἔθ' Ἥφαιστος μεταδήμιος, ἀλλά που ἤδη
not for still Hephaestus at-home but somewhere already
οἴχεται ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους."
he-is-gone to Lemnos to the-Sintians savage-voiced
Ὣς φάτο, τῇ δ' ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.
So he-spoke to-her and welcome seemed to-lie-down
τὼ δ' ἐς δέμνια βάντε κατέδραθον· ἀμφὶ δὲ δεσμοὶ
they-two and to the-bed having-gone slept around and bonds
τεχνήεντες ἔχυντο πολύφρονος Ἡφαίστοιο,
cunning were-poured of-wise Hephaestus
οὐδέ τι κινῆσαι μελέων ἦν οὐδ' ἀναεῖραι.
nor at-all to-move of-the-limbs was-it-possible nor to-lift
καὶ τότε δὴ γίγνωσκον, ὅ τ' οὐκέτι φυκτὰ πέλοντο.
and then indeed they-knew that — no-longer escapable-things were
ἀγχίμολον δέ σφ' ἦλθε περικλυτὸς ἀμφιγυήεις,
near and to-them came the-very-famous lame-one
αὖτις ὑποστρέψας πρὶν Λήμνου γαῖαν ἱκέσθαι·
back having-turned before of-Lemnos the-land to-reach

Ἠέλιος γάρ οἱ σκοπιὴν ἔχεν εἶπέ τε μῦθον.
Helios for for-him watch kept told and the-tale
βῆ δ' ἴμεναι πρὸς δῶμα φίλον τετιημένος ἦτορ·
went and to-go to house dear grieved heart
ἔστη δ' ἐν προθύροισι, χόλος δέ μιν ἄγριος ᾕρει·
stood and in the-gateway anger and him savage seized
σμερδαλέον δ' ἐβόησε, γέγωνέ τε πᾶσι θεοῖσιν· 305
terribly and he-shouted made-himself-heard and to-all gods
"Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Zeus father and other blessed gods always being
δεῦθ', ἵνα ἔργα γελαστὰ καὶ οὐκ ἐπιεικτὰ ἴδησθε,
come-here so-that deeds laughable and not to-be-endured you-may-see
ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
how me lame being of-Zeus the-daughter Aphrodite
αἰὲν ἀτιμάζει, φιλέει δ' ἀίδηλον Ἄρηα,
always dishonors loves and destructive Ares
οὕνεχ' ὁ μὲν καλός τε καὶ ἀρτίπος, αὐτὰρ ἐγώ γε 310
because he indeed fair both and sound-of-foot but I indeed
ἠπεδανὸς γενόμην. ἀτὰρ οὔ τί μοι αἴτιος ἄλλος,
crippled was-born but not at-all to-me to-blame other
ἀλλὰ τοκῆε δύω, τὼ μὴ γείνασθαι ὄφελλον.
but parents two who not to-have-begotten ought
ἀλλ' ὄψεσθ', ἵνα τώ γε καθεύδετον ἐν φιλότητι
but you-will-see where they-two indeed sleep in love
εἰς ἐμὰ δέμνια βάντες, ἐγὼ δ' ὁρόων ἀκάχημαι.
into my bed having-gone I and seeing am-grieved

οὐ μέν σφεας ἔτ᾽ ἔολπα μίννυθά γε κειέμεν οὕτως
not indeed them longer I-expect a-little-while indeed to-lie thus
καὶ μάλα περ φιλέοντε· τάχ᾽ οὐκ ἐθελήσετον ἄμφω
even very though loving soon not they-will-wish both
εὕδειν· ἀλλά σφωε δόλος καὶ δεσμὸς ἐρύξει,
to-sleep but them-two the-trap and bond will-hold
εἰς ὅ κέ μοι μάλα πάντα πατὴρ ἀποδῷσιν ἔεδνα,
until (the-time)-when — to-me very all father gives-back wedding-gifts
ὅσσα οἱ ἐγγυάλιξα κυνώπιδος εἵνεκα κούρης,
as-many-as to-him I-put-in-hand shameless for-the-sake-of girl
οὕνεκά οἱ καλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθυμος.”
because his fair daughter but not self-controlled

Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἀγέροντο θεοὶ ποτὶ χαλκοβατὲς δῶ·
So he-spoke they and gathered the-gods to bronze-floored house
ἦλθε Ποσειδάων γαιήοχος, ἦλθ᾽ ἐριούνης
came Poseidon earth-holder came luck-bringing
Ἑρμείας, ἦλθεν δὲ ἄναξ ἑκάεργος Ἀπόλλων.
Hermes came and lord far-worker Apollo
θηλύτεραι δὲ θεαὶ μένον αἰδοῖ οἴκοι ἑκάστη.
female and goddesses stayed from-shame at-home each
ἔσταν δ᾽ ἐν προθύροισι θεοί, δωτῆρες ἑάων·
stood and in the-gateway the-gods givers of-good-things
ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσι
unquenchable and then arose laughter among-the-blessed gods
τέχνας εἰσορόωσι πολύφρονος Ἡφαίστοιο.
the-arts looking-at of-wise Hephaestus
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and one would-say looking at near another

"Οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν,
Not prosper evil deeds overtakes you-know the-slow the-swift
ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα
as also now Hephaestus being slow has-caught Ares
ὠκύτατόν περ ἐόντα θεῶν οἳ Ὄλυμπον ἔχουσιν,
swiftest though being of-the-gods who Olympus hold
χωλὸς ἐὼν τέχνῃσι· τὸ καὶ μοιχάγρι' ὀφέλλει."
lame being by-arts therefore also adulterer's-fine he-owes
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
So they indeed such-things to each-other spoke
Ἑρμῆν δὲ προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Hermes and addressed lord of-Zeus son Apollo
" Ἑρμεία, Διὸς υἱέ, διάκτορε, δῶτορ ἑάων,
Hermes of-Zeus son guide giver of-good-things
ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς
truly then — in bonds would-you-wish strong pressed
εὕδειν ἐν λέκτροισι παρὰ χρυσέῃ Ἀφροδίτῃ;"
to-sleep in bed beside golden Aphrodite
Τὸν δ' ἠμείβετ' ἔπειτα διάκτορος ἀργεϊφόντης·
Him and answered then the-guide Argus-slayer
"Αἴ γὰρ τοῦτο γένοιτο, ἄναξ ἑκατηβόλ' Ἄπολλον·
If-only for this might-happen lord far-shooting Apollo
δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν,
bonds indeed thrice so-many boundless around might-hold(-me)
ὑμεῖς δ' εἰσορόῳτε θεοὶ πᾶσαί τε θέαιναι,
you and might-look-on gods all and goddesses
αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρυσέῃ Ἀφροδίτῃ."
but I might-sleep beside golden Aphrodite

Ὣς ἔφατ', ἐν δὲ γέλως ὦρτ' ἀθανάτοισι θεοῖσιν.
So he-spoke in and laughter rose among-immortal gods
οὐδὲ Ποσειδάωνα γέλως ἔχε, λίσσετο δ' αἰεὶ
nor Poseidon laughter held he-begged and always
Ἥφαιστον κλυτοεργὸν ὅπως λύσειεν Ἄρηα.
Hephaestus famed-for-work that he-should-release Ares
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,
Release(-him) I and to-you him I-promise as you bid
τίσειν αἴσιμα πάντα μετ' ἀθανάτοισι θεοῖσιν."
will-pay due-things all among immortal gods
Τὸν δ' αὖτε προσέειπε περικλυτὸς ἀμφιγυήεις·
Him and in-turn addressed the-very-famous lame-one
"Μή με, Ποσείδαον γαιήοχε, ταῦτα κέλευε·
Not me Poseidon earth-holder these-things bid
δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.
worthless you-know of-worthless-men indeed even pledges to-take-as-pledge
πῶς ἂν ἐγώ σε δέοιμι μετ' ἀθανάτοισι θεοῖσιν,
how — I you could-bind among immortal gods
εἴ κεν Ἄρης οἴχοιτο χρέος καὶ δεσμὸν ἀλύξας;"
if — Ares should-go-off the-debt and bond having-escaped
Τὸν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Him and in-turn addressed Poseidon earth-shaker
"Ἥφαιστ', εἴ περ γάρ κεν Ἄρης χρεῖος ὑπαλύξας
Hephaestus if indeed for — Ares the-debt having-escaped
οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τίσω."
should-go-off fleeing myself to-you I these-things will-pay

Τὸν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς ἀμφιγυήεις·
Him and answered then the-very-famous lame-one
"Οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι."
Not it-is-possible nor is-it-fitting your word to-refuse
Ὣς εἰπὼν δεσμὸν ἀνίει μένος Ἡφαίστοιο.
So having-spoken the-bond loosed the-might of-Hephaestus
τὼ δ' ἐπεὶ ἐκ δεσμοῖο λύθεν, κρατεροῦ περ ἐόντος,
they-two and when from the-bond were-loosed strong though being
αὐτίκ' ἀναΐξαντε ὁ μὲν Θρῄκηνδε βεβήκει,
at-once springing-up he indeed to-Thrace went
ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
she and then Cyprus reached smile-loving Aphrodite
ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις.
to Paphos there and her precinct altar and fragrant
ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίῳ
there and her the-Graces bathed and anointed with-oil
ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας,
immortal such-as the-gods bedecks always being
ἀμφὶ δὲ εἵματα ἕσσαν ἐπήρατα, θαῦμα ἰδέσθαι.
around and clothes they-clothed(-her) lovely a-wonder to-see

Halius and Laodamas dance with a purple ball, and Odysseus praises them. Alcinous asks the twelve princes to give the stranger a cloak, a tunic, and a talent of gold, and Euryalus to make amends; Euryalus gives him a sword with a silver hilt. Arete packs the gifts in a chest, and Odysseus ties it with a knot Circe taught him. After his bath, Nausicaa bids him farewell and asks him to remember her, and he promises to pray to her as to a god.

Ταῦτ᾽ ἄρ᾽ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
These-things then the-minstrel sang far-famed but Odysseus
τέρπετ᾽ ἐνὶ φρεσὶν ᾗσιν ἀκούων ἠδὲ καὶ ἄλλοι
delighted in mind his-own listening and also others
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.
the-Phaeacians long-oared ship-famed men
Ἀλκίνοος δ᾽ Ἄλιον καὶ Λαοδάμαντα κέλευσεν
Alcinous and Halius and Laodamas bade
μουνὰξ ὀρχήσασθαι, ἐπεί σφισιν οὔ τις ἔριζεν.
alone to-dance since with-them not any vied
οἱ δ᾽ ἐπεὶ οὖν σφαῖραν καλὴν μετὰ χερσὶν ἔλοντο,
they and when then a-ball fair in hands took
πορφυρέην, τήν σφιν Πόλυβος ποίησε δαΐφρων,
purple which for-them Polybus made wise
τὴν ἕτερος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα
it the-one would-throw toward clouds shadowy
ἰδνωθεὶς ὀπίσω, ὁ δ᾽ ἀπὸ χθονὸς ὑψόσ᾽ ἀερθεὶς
bending backward the-other and from earth on-high lifted
ῥηιδίως μεθέλεσκε, πάρος ποσὶν οὖδας ἱκέσθαι.
easily would-catch before with-feet the-ground to-reach
αὐτὰρ ἐπεὶ δὴ σφαίρῃ ἀν᾽ ἰθὺν πειρήσαντο,
but when indeed with-the-ball up straight they-had-made-trial

ὠρχείσθην δὴ ἔπειτα ποτὶ χθονὶ πουλυβοτείρῃ
they-danced indeed then on earth much-nourishing
ταρφὲ ἀμειβομένω· κοῦροι δ' ἐπελήκεον ἄλλοι
often exchanging(-places) the-youths and beat-time others
ἑστεῶτες κατ' ἀγῶνα, πολὺς δ' ὑπὸ κόμπος ὀρώρει.
standing through the-ring great and beneath din arose
Δὴ τότ' ἄρ' Ἀλκίνοον προσεφώνεε δῖος Ὀδυσσεύς·
Indeed then then Alcinous addressed noble Odysseus
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Alcinous lord of-all most-renowned of-peoples
ἠμὲν ἀπείλησας βητάρμονας εἶναι ἀρίστους,
both you-boasted dancers to-be best
ἠδ' ἄρ' ἑτοῖμα τέτυκτο· σέβας μ' ἔχει εἰσορόωντα."
and then ready-things were-made awe me holds looking-at(-them)
Ὣς φάτο, γήθησεν δ' ἱερὸν μένος Ἀλκινόοιο,
So he-spoke rejoiced and the-sacred might of-Alcinous
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
at-once and to-the-Phaeacians oar-loving spoke-among(-them)
"Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες.
Hear of-the-Phaeacians leaders and rulers
ὁ ξεῖνος μάλα μοι δοκέει πεπνυμένος εἶναι.
the stranger very to-me seems prudent to-be
ἀλλ' ἄγε οἱ δῶμεν ξεινήιον, ὡς ἐπιεικές.
but come to-him let-us-give a-guest-gift as is-fitting
δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες
twelve for throughout the-land distinguished kings
ἀρχοὶ κραίνουσι, τρισκαιδέκατος δ' ἐγὼ αὐτός·
as-leaders rule thirteenth and I myself

τῶν οἱ ἕκαστος φᾶρος ἐυπλυνὲς ἠδὲ χιτῶνα
of-them for-him each a-cloak well-washed and a-tunic
καὶ χρυσοῖο τάλαντον ἐνείκατε τιμήεντος.
and of-gold a-talent bring precious
αἶψα δὲ πάντα φέρωμεν ἀολλέα, ὄφρ' ἐνὶ χερσὶν
quickly and all let-us-bring together so-that in hands
ξεῖνος ἔχων ἐπὶ δόρπον ἴῃ χαίρων ἐνὶ θυμῷ.
the-stranger having(-them) to supper may-go rejoicing in heart
Εὐρύαλος δέ ἑ αὐτὸν ἀρεσσάσθω ἐπέεσσι
Euryalus and him himself let-appease with-words
καὶ δώρῳ, ἐπεὶ οὔ τι ἔπος κατὰ μοῖραν ἔειπεν."
and with-a-gift since not at-all word according-to due he-spoke
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ἠδ' ἐκέλευον,
So he-spoke they and then all approved and urged
δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
gifts and then to-bring sent a-herald each
τὸν δ' αὖτ' Εὐρύαλος ἀπαμείβετο φώνησέν τε·
him and in-turn Euryalus answered spoke and
"Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Alcinous lord of-all most-renowned of-peoples
τοιγὰρ ἐγὼ τὸν ξεῖνον ἀρέσσομαι, ὡς σὺ κελεύεις.
therefore I the stranger will-appease as you bid
δώσω οἱ τόδ' ἄορ παγχάλκεον, ᾧ ἔπι κώπη
I-will-give to-him this sword all-bronze which on a-hilt
ἀργυρέη, κολεὸν δὲ νεοπρίστου ἐλέφαντος
silver the-scabbard and of-newly-sawn ivory
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιον ἔσται."
is-wound-around of-much and to-him worth will-be

Ὣς εἰπὼν ἐν χερσὶ τίθει ξίφος ἀργυρόηλον
So having-spoken in hands he-put the-sword silver-studded
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Χαῖρε, πάτερ ὦ ξεῖνε· ἔπος δ' εἴ πέρ τι βέβακται
Hail father O stranger word and if indeed any has-been-uttered
δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.
harsh straightway it may-they-bear snatching-up the-storms
σοὶ δὲ θεοὶ ἄλοχόν τ' ἰδέειν καὶ πατρίδ' ἱκέσθαι
to-you and the-gods (your)-wife both to-see and native-land to-reach
δοῖεν, ἐπεὶ δὴ δηθὰ φίλων ἄπο πήματα πάσχεις."
may-grant since indeed long friends from sorrows you-suffer
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
"Καὶ σὺ φίλος μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
And you friend very hail the-gods and to-you happiness may-grant
μηδέ τι τοι ξίφεός γε ποθὴ μετόπισθε γένοιτο
nor at-all to-you of-the-sword indeed longing hereafter may-come
τούτου, ὃ δή μοι δῶκας ἀρεσσάμενος ἐπέεσσιν."
this which indeed to-me you-gave appeasing(-me) with-words
Ἦ ῥα καὶ ἀμφ' ὤμοισι θέτο ξίφος ἀργυρόηλον.
He-spoke then and around shoulders he-put the-sword silver-studded
δύσετό τ' ἠέλιος, καὶ τῷ κλυτὰ δῶρα παρῆεν.
set and the-sun and to-him the-glorious gifts were-at-hand
καὶ τά γ' ἐς Ἀλκινόοιο φέρον κήρυκες ἀγαυοί·
and them indeed to of-Alcinous carried the-heralds lordly
δεξάμενοι δ' ἄρα παῖδες ἀμύμονος Ἀλκινόοιο
receiving(-them) and then the-sons of-blameless Alcinous
μητρὶ παρ' αἰδοίῃ ἔθεσαν περικαλλέα δῶρα.
the-mother beside revered set the-very-fair gifts

τοῖσιν δ' ἡγεμόνευ' ἱερὸν μένος Ἀλκινόοιο,
them and led the-sacred might of-Alcinous
ἐλθόντες δὲ καθῖζον ἐν ὑψηλοῖσι θρόνοισι.
coming and they-sat on high chairs
δή ῥα τότ' Ἀρήτην προσέφη μένος Ἀλκινόοιο·
indeed then then Arete addressed the-might of-Alcinous
"Δεῦρο, γύναι, φέρε χηλὸν ἀριπρεπέ', ἥ τις ἀρίστη·
Hither wife bring a-chest distinguished which any best
ἐν δ' αὐτὴ θὲς φᾶρος ἐυπλυνὲς ἠδὲ χιτῶνα.
in and yourself put a-cloak well-washed and a-tunic
ἀμφὶ δέ οἱ πυρὶ χαλκὸν ἰήνατε, θέρμετε δ' ὕδωρ,
around and for-him on-the-fire a-cauldron warm heat and water
ὄφρα λοεσσάμενός τε ἰδών τ' ἐὺ κείμενα πάντα
so-that having-bathed both seeing and well laid-up all
δῶρα, τά οἱ Φαίηκες ἀμύμονες ἐνθάδ' ἔνεικαν,
the-gifts which to-him the-Phaeacians blameless here brought
δαιτί τε τέρπηται καὶ ἀοιδῆς ὕμνον ἀκούων.
in-the-feast both he-may-delight and of-the-song the-strain hearing
καί οἱ ἐγὼ τόδ' ἄλεισον ἐμὸν περικαλλὲς ὀπάσσω,
and to-him I this goblet my very-fair will-give
χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα
golden so-that me remembering days all
σπένδῃ ἐνὶ μεγάρῳ Διί τ' ἄλλοισίν τε θεοῖσιν."
he-may-pour-libation in the-hall to-Zeus both to-other and gods
Ὣς ἔφατ', Ἀρήτη δὲ μετὰ δμῳῇσιν ἔειπεν
So he-spoke Arete and among the-maidservants spoke
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν ὅττι τάχιστα.
around the-fire to-set a-tripod great as-quickly as-possible
αἱ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ,
they and bath-pouring tripod set on fire burning

ἔν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλοῦσαι.
in and then water they-poured under and wood they-kindled taking
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ·
the-belly indeed of-the-tripod fire encompassed was-warmed and the-water
τόφρα δ' ἄρ' Ἀρήτη ξείνῳ περικαλλέα χηλὸν
meanwhile and then Arete for-the-stranger very-fair chest
ἐξέφερεν θαλάμοιο, τίθει δ' ἐνὶ κάλλιμα δῶρα,
brought-out from-the-chamber put and in very-fair gifts
ἐσθῆτα χρυσόν τε, τά οἱ Φαίηκες ἔδωκαν·
clothing gold and which to-him the-Phaeacians gave
ἐν δ' αὐτὴ φᾶρος θῆκεν καλόν τε χιτῶνα,
in and she-herself a-cloak put fair and tunic
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Αὐτὸς νῦν ἴδε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλον,
Yourself now see-to the-lid quickly and on a-knot tie
μή τίς τοι καθ' ὁδὸν δηλήσεται, ὁππότ' ἂν αὖτε
lest any you on the-way harm when — again
εὕδῃσθα γλυκὺν ὕπνον ἰὼν ἐν νηὶ μελαίνῃ."
you-sleep sweet sleep going in ship black
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε πολύτλας δῖος Ὀδυσσεύς,
But when this indeed heard much-enduring noble Odysseus
αὐτίκ' ἐπήρτυε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλεν
at-once fitted the-lid quickly and on a-knot tied
ποικίλον, ὅν ποτέ μιν δέδαε φρεσὶ πότνια Κίρκη.
intricate which once him taught in-mind queenly Circe

αὐτόδιον δ' ἄρα μιν ταμίη λούσασθαι ἀνώγει
at-once and then him the-housekeeper to-bathe bade
ἔς ῥ' ἀσάμινθον βάνθ'· ὁ δ' ἄρ' ἀσπασίως ἴδε θυμῷ
into then the-bathtub going he and then gladly saw in-heart
θερμὰ λοέτρ', ἐπεὶ οὔ τι κομιζόμενός γε θάμιζεν,
the-warm bath since not at-all cared-for indeed was-he-wont
ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς ἠυκόμοιο.
since indeed he-left the-house of-Calypso fair-haired
τόφρα δέ οἱ κομιδή γε θεῷ ὣς ἔμπεδος ἦεν.
so-long and for-him care indeed a-god like constant was
Τὸν δ' ἐπεὶ οὖν δμῳαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Him and when then the-maidservants bathed and anointed with-oil
ἀμφὶ δέ μιν χλαῖναν καλὴν βάλον ἠδὲ χιτῶνα,
around and him a-cloak fair cast and a-tunic
ἔκ ῥ' ἀσαμίνθου βὰς ἄνδρας μέτα οἰνοποτῆρας
from then the-bathtub going men among wine-drinking
ἤιε· Ναυσικάα δὲ θεῶν ἄπο κάλλος ἔχουσα
went Nausicaa and of-the-gods from beauty having
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
stood then by the-pillar of-the-roof stoutly built
θαύμαζεν δ' Ὀδυσῆα ἐν ὀφθαλμοῖσιν ὁρῶσα,
marveled-at and Odysseus with eyes beholding(-him)
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
and him having-spoken words winged addressed
"Χαῖρε, ξεῖν', ἵνα καί ποτ' ἐὼν ἐν πατρίδι γαίῃ
Farewell stranger so-that even once being in native land
μνήσῃ ἐμεῦ, ὅτι μοι πρώτῃ ζωάγρι' ὀφέλλεις."
you-may-remember me that to-me first the-price-of-life you-owe

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Her and answering addressed of-many-wiles Odysseus
"Ναυσικάα θύγατερ μεγαλήτορος Ἀλκινόοιο,
Nausicaa daughter of-great-hearted Alcinous
οὕτω νῦν Ζεὺς θείη, ἐρίγδουπος πόσις Ἥρης, 465
so now Zeus may-grant loud-thundering husband of-Hera
οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι·
home both to-come and of-return the-day to-see
τῷ κέν τοι καὶ κεῖθι θεῷ ὡς εὐχετοώμην
then — to-you also there a-god like I-would-pray
αἰεὶ ἤματα πάντα· σὺ γάρ μ' ἐβιώσαο, κούρη."
always days all you for me saved maiden

VIII.6 · THE SONG OF THE WOODEN HORSE

At the feast Odysseus sends Demodocus a choice cut of meat, saying the muse loves minstrels. He praises his song of the Achaeans and asks for the story of the wooden horse. Demodocus sings how the Trojans debated what to do with the horse, how the Greeks poured out of it and sacked the city, and how Odysseus and Menelaus went to the house of Deiphobus and won there.

Ἦ ῥα καὶ ἐς θρόνον ἷζε παρ' Ἀλκίνοον βασιλῆα·
He-spoke then and on chair sat by Alcinous the-king
οἱ δ' ἤδη μοίρας τ' ἔνεμον κερόωντό τε οἶνον. 470
they and already portions both were-distributing were-mixing and wine
κῆρυξ δ' ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν,
the-herald and near came leading the-trusty minstrel
Δημόδοκον λαοῖσι τετιμένον· εἷσε δ' ἄρ' αὐτὸν
Demodocus by-the-people honored seated and then him
μέσσῳ δαιτυμόνων, πρὸς κίονα μακρὸν ἐρείσας.
in-the-middle of-the-banqueters against pillar tall having-leaned(-him)

δὴ τότε κήρυκα προσέφη πολύμητις Ὀδυσσεύς,
indeed then the-herald addressed of-many-wiles Odysseus
νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο,
of-the-chine having-cut-off on and more was-left
ἀργιόδοντος ὑός, θαλερὴ δ' ἦν ἀμφὶς ἀλοιφή·
of-a-white-tusked boar rich and was on-both-sides the-fat
"Κῆρυξ, τῆ δή, τοῦτο πόρε κρέας, ὄφρα φάγῃσιν,
Herald here indeed this give the-meat so-that he-may-eat
Δημοδόκῳ· καί μιν προσπτύξομαι ἀχνύμενός περ·
to-Demodocus and him I-will-greet grieving though
πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ
to-all for men earthly minstrels
τιμῆς ἔμμοροί εἰσι καὶ αἰδοῦς, οὕνεκ' ἄρα σφέας
of-honor partakers are and of-reverence since then them
οἴμας μοῦσ' ἐδίδαξε, φίλησε δὲ φῦλον ἀοιδῶν."
the-lays the-muse taught loved and the-tribe of-minstrels
Ὣς ἄρ' ἔφη, κῆρυξ δὲ φέρων ἐν χερσὶν ἔθηκεν
So then he-spoke the-herald and bearing in hands placed(-it)
ἥρῳ Δημοδόκῳ· ὁ δ' ἐδέξατο, χαῖρε δὲ θυμῷ.
for-the-hero Demodocus he and received(-it) rejoiced and in-heart
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
they and on food ready lying-before hands put-forth
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put
δὴ τότε Δημόδοκον προσέφη πολύμητις Ὀδυσσεύς·
indeed then Demodocus addressed of-many-wiles Odysseus
"Δημόδοκ', ἔξοχα δή σε βροτῶν αἰνίζομ' ἁπάντων.
Demodocus above(-all) indeed you of-mortals I-praise all
ἢ σέ γε μοῦσ' ἐδίδαξε, Διὸς πάις, ἢ σέ γ' Ἀπόλλων·
either you indeed the-muse taught of-Zeus child or you indeed Apollo

λίην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
exceedingly for in order of-the-Achaeans the-doom you-sing
ὅσσ' ἔρξαν τ' ἔπαθόν τε καὶ ὅσσ' ἐμόγησαν Ἀχαιοί,
as-much-as they-did both suffered and and as-much-as toiled the-Achaeans
ὥς τέ που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας.
as — somehow either yourself present or from-another having-heard
ἀλλ' ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον
but come indeed move-on and of-the-horse the-building sing
δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
wooden which Epeius made with Athena
ὅν ποτ' ἐς ἀκρόπολιν δόλον ἤγαγε δῖος Ὀδυσσεὺς
which once into the-citadel as-a-trick led noble Odysseus
ἀνδρῶν ἐμπλήσας οἵ ῥ' Ἴλιον ἐξαλάπαξαν.
with-men having-filled(-it) who then Ilion sacked
αἴ κεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,
if — indeed to-me these-things according-to due you-recount
αὐτίκ' ἐγὼ πᾶσιν μυθήσομαι ἀνθρώποισιν,
at-once I to-all will-declare men
ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν."
how then to-you kindly a-god bestowed inspired song
Ὣς φάθ', ὁ δ' ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ' ἀοιδήν,
So he-spoke he and roused by-the-god began showed and the-song
ἔνθεν ἑλὼν ὡς οἱ μὲν ἐυσσέλμων ἐπὶ νηῶν
thence taking-up how they indeed well-decked on ships
βάντες ἀπέπλειον, πῦρ ἐν κλισίῃσι βαλόντες,
having-embarked were-sailing-away fire in the-huts having-thrown
Ἀργεῖοι, τοὶ δ' ἤδη ἀγακλυτὸν ἀμφ' Ὀδυσῆα
the-Argives they and already glorious around Odysseus
ἧατ' ἐνὶ Τρώων ἀγορῇ κεκαλυμμένοι ἵππῳ·
sat in of-the-Trojans the-meeting-place hidden in-the-horse

αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν ἐρύσαντο.
themselves for it the-Trojans to the-citadel had-dragged
ὣς ὁ μὲν ἑστήκει, τοὶ δ' ἄκριτα πόλλ' ἀγόρευον
so it indeed stood they and confusedly many-things spoke
ἥμενοι ἀμφ' αὐτόν· τρίχα δέ σφισιν ἥνδανε βουλή,
sitting around it in-three-ways and to-them was-pleasing counsel
ἠὲ διαπλῆξαι κοῖλον δόρυ νηλέι χαλκῷ,
either to-pierce-through the-hollow timber with-pitiless bronze
ἢ κατὰ πετράων βαλέειν ἐρύσαντας ἐπ' ἄκρης,
or down rocks to-throw dragging(-it) to the-top
ἢ ἐάαν μέγ' ἄγαλμα θεῶν θελκτήριον εἶναι,
or to-let(-it) a-great offering to-the-gods propitiating to-be
τῇ περ δὴ καὶ ἔπειτα τελευτήσεσθαι ἔμελλεν·
in-which indeed indeed also then to-be-accomplished it-was-about
αἶσα γὰρ ἦν ἀπολέσθαι, ἐπὴν πόλις ἀμφικαλύψῃ
fate for it-was to-perish when the-city should-enclose
δουράτεον μέγαν ἵππον, ὅθ' ἥατο πάντες ἄριστοι
wooden great horse where sat all the-best
Ἀργείων Τρώεσσι φόνον καὶ κῆρα φέροντες.
of-the-Argives for-the-Trojans slaughter and doom bringing
ἤειδεν δ' ὡς ἄστυ διέπραθον υἷες Ἀχαιῶν
he-sang and how the-city sacked the-sons of-the-Achaeans
ἱππόθεν ἐκχύμενοι, κοῖλον λόχον ἐκπρολιπόντες.
from-the-horse pouring-out the-hollow ambush having-left
ἄλλον δ' ἄλλῃ ἄειδε πόλιν κεραϊζέμεν αἰπήν,
another and elsewhere he-sang the-city ravaging steep
αὐτὰρ Ὀδυσσῆα προτὶ δώματα Δηιφόβοιο
but Odysseus to the-house of-Deiphobus
βήμεναι, ἠύτ' Ἄρηα σὺν ἀντιθέῳ Μενελάῳ.
to-have-gone like Ares with godlike Menelaus

κεῖθι δὴ αἰνότατον πόλεμον φάτο τολμήσαντα
there indeed most-dreadful battle he-said having-dared
νικῆσαι καὶ ἔπειτα διὰ μεγάθυμον Ἀθήνην.
to-have-conquered and then through great-hearted Athena

VIII.7 · ALCINOUS ASKS THE STRANGER'S NAME

Odysseus weeps like a woman over her husband fallen before his city. Alcinous alone notices, stops the song, and asks the stranger his name and land, since Phaeacian ships need no steersmen and know men's minds. He recalls his father's prophecy that Poseidon would one day wreck a Phaeacian ship and ring the city with a great mountain. He asks where Odysseus has wandered and why he weeps at the fall of Troy.

Ταῦτ' ἄρ' ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
These-things then the-minstrel sang far-famed but Odysseus
τήκετο, δάκρυ δ' ἔδευεν ὑπὸ βλεφάροισι παρειάς.
was-melting a-tear and wetted beneath eyelids the-cheeks
ὡς δὲ γυνὴ κλαίῃσι φίλον πόσιν ἀμφιπεσοῦσα,
as and a-woman weeps dear husband falling-around(-him)
ὅς τε ἑῆς πρόσθεν πόλιος λαῶν τε πέσῃσιν,
who — his-own before city people and falls
ἄστεϊ καὶ τεκέεσσιν ἀμύνων νηλεὲς ἦμαρ·
for-town and children warding-off pitiless day

ἡ μὲν τὸν θνήσκοντα καὶ ἀσπαίροντα ἰδοῦσα
she indeed him dying and gasping seeing
ἀμφ᾽ αὐτῷ χυμένη λίγα κωκύει· οἱ δέ τ᾽ ὄπισθε
around him poured shrilly wails they and — behind
κόπτοντες δούρεσσι μετάφρενον ἠδὲ καὶ ὤμους
beating with-spears back and also shoulders
εἴρερον εἰσανάγουσι, πόνον τ᾽ ἐχέμεν καὶ ὀιζύν·
into-bondage lead-up toil both to-have and misery
τῆς δ᾽ ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί·
of-her and with-most-pitiable grief waste the-cheeks
ὣς Ὀδυσεὺς ἐλεεινὸν ὑπ᾽ ὀφρύσι δάκρυον εἶβεν.
so Odysseus pitiable beneath brows tear shed
ἔνθ᾽ ἄλλους μὲν πάντας ἐλάνθανε δάκρυα λείβων,
then from-the-others indeed all he-escaped-notice tears shedding
Ἀλκίνοος δέ μιν οἷος ἐπεφράσατ᾽ ἠδ᾽ ἐνόησεν,
Alcinous but him alone marked and noticed
ἥμενος ἄγχ᾽ αὐτοῦ, βαρὺ δὲ στενάχοντος ἄκουσεν.
sitting near him heavily and groaning heard
αἶψα δὲ Φαιήκεσσι φιληρέτμοισι μετηύδα·
at-once and to-the-Phaeacians oar-loving spoke-among(-them)
"Κέκλυτε, Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Hear of-the-Phaeacians leaders and rulers
Δημόδοκος δ᾽ ἤδη σχεθέτω φόρμιγγα λίγειαν·
Demodocus and now let-check the-lyre clear-toned
οὐ γάρ πως πάντεσσι χαριζόμενος τάδ᾽ ἀείδει.
not for in-any-way to-all giving-pleasure these-things he-sings
ἐξ οὗ δορπέομέν τε καὶ ὤρορε θεῖος ἀοιδός,
from when we-sup both and arose the-divine minstrel

ἐκ τοῦ δ' οὔ πω παύσατ' ὀιζυροῖο γόοιο
from that and not yet he-has-ceased from-woeful lament
ὁ ξεῖνος· μάλα πού μιν ἄχος φρένας ἀμφιβέβηκεν.
the stranger very surely him grief the-mind has-encompassed
ἀλλ' ἄγ' ὁ μὲν σχεθέτω, ἵν' ὁμῶς τερπώμεθα πάντες,
but come he indeed let-him-check so-that alike we-may-delight all
ξεινοδόκοι καὶ ξεῖνος, ἐπεὶ πολὺ κάλλιον οὕτως·
hosts and stranger since much better thus
εἵνεκα γὰρ ξείνοιο τάδ' αἰδοίοιο τέτυκται,
for-the-sake for of-the-stranger these-things revered have-been-made
πομπὴ καὶ φίλα δῶρα, τά οἱ δίδομεν φιλέοντες.
escort and dear gifts which to-him we-give loving
ἀντὶ κασιγνήτου ξεινός θ' ἱκέτης τε τέτυκται
in-place-of a-brother a-stranger both suppliant and is-made
ἀνέρι, ὅς τ' ὀλίγον περ ἐπιψαύῃ πραπίδεσσι.
for-a-man who — little indeed touches with-wits
τῷ νῦν μηδὲ σὺ κεῦθε νοήμασι κερδαλέοισιν
therefore now nor you hide with-thoughts crafty
ὅττι κέ σ' εἴρωμαι· φάσθαι δέ σε κάλλιόν ἐστιν.
whatever — you I-ask to-speak and you better it-is
εἴπ' ὄνομ' ὅττι σε κεῖθι κάλεον μήτηρ τε πατήρ τε
tell the-name which you there called mother both father and
ἄλλοι θ' οἳ κατὰ ἄστυ καὶ οἳ περιναιετάουσιν.
others and who in the-town and who dwell-around
οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων,
not indeed for anyone wholly nameless is of-men
οὐ κακὸς οὐδὲ μὲν ἐσθλός, ἐπὴν τὰ πρῶτα γένηται,
not base nor indeed noble when the first he-is-born
ἀλλ' ἐπὶ πᾶσι τίθενται, ἐπεί κε τέκωσι, τοκῆες.
but on all put(-names) when — bear(-them) parents

εἰπὲ δέ μοι γαῖάν τε τεὴν δῆμόν τε πόλιν τε,
tell and me land both your people both city and
ὄφρα σε τῇ πέμπωσι τιτυσκόμεναι φρεσὶ νῆες·
so-that you there may-convey aiming with-minds the-ships
οὐ γὰρ Φαιήκεσσι κυβερνητῆρες ἔασιν,
not for to-the-Phaeacians helmsmen are
οὐδέ τι πηδάλι' ἔστι, τά τ' ἄλλαι νῆες ἔχουσιν·
nor any steering-oars are which — other ships have
ἀλλ' αὐταὶ ἴσασι νοήματα καὶ φρένας ἀνδρῶν,
but themselves know the-thoughts and minds of-men
καὶ πάντων ἴσασι πόλιας καὶ πίονας ἀγροὺς
and of-all know the-cities and rich fields
ἀνθρώπων, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπερόωσιν
of-men and the-gulf most-swiftly of-the-sea cross
ἠέρι καὶ νεφέλῃ κεκαλυμμέναι· οὐδέ ποτέ σφιν
in-mist and cloud covered nor ever to-them
οὔτε τι πημανθῆναι ἔπι δέος οὔτ' ἀπολέσθαι.
either at-all to-be-harmed upon(-them) is-fear nor to-perish
ἀλλὰ τόδ' ὥς ποτε πατρὸς ἐγὼν εἰπόντος ἄκουσα
but this thus once of-father I speaking heard
Ναυσιθόου, ὃς ἔφασκε Ποσειδάων' ἀγάσασθαι
Nausithous who said Poseidon to-be-angry
ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων.
with-us because escorts safe we-are of-all
φῆ ποτὲ Φαιήκων ἀνδρῶν ἐυεργέα νῆα
he-said one-day of-the-Phaeacian men a-well-built ship
ἐκ πομπῆς ἀνιοῦσαν ἐν ἠεροειδέι πόντῳ
from escort returning on the-misty sea
ῥαισέμεναι, μέγα δ' ἦμιν ὄρος πόλει ἀμφικαλύψειν.
he-would-smite great and for-us a-mountain round-the-city would-put

ὣς ἀγόρευ᾽ ὁ γέρων· τὰ δέ κεν θεὸς ἢ τελέσειεν
so spoke the old-man these-things and — the-god either may-accomplish
ἤ κ᾽ ἀτέλεστ᾽ εἴη, ὥς οἱ φίλον ἔπλετο θυμῷ·
or — unaccomplished may-be as to-him dear is in-heart
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
ὅππῃ ἀπεπλάγχθης τε καὶ ἅς τινας ἵκεο χώρας
whither you-were-driven-astray both and what any you-came-to lands
ἀνθρώπων, αὐτούς τε πόλιάς τ᾽ ἐὺ ναιετοώσας,
of-men themselves both cities and well inhabited
ἠμὲν ὅσοι χαλεποί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
both who harsh both and savage nor just
οἵ τε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.
who and hospitable and to-them mind is god-fearing
εἰπὲ δ᾽ ὅ τι κλαίεις καὶ ὀδύρεαι ἔνδοθι θυμῷ
tell and for-what reason you-weep-for and lament within heart
Ἀργείων Δαναῶν ἠδ᾽ Ἰλίου οἶτον ἀκούων.
of-the-Argive Danaans and of-Ilion the-doom hearing
τὸν δὲ θεοὶ μὲν τεῦξαν, ἐπεκλώσαντο δ᾽ ὄλεθρον
it and the-gods indeed made spun-out and destruction
ἀνθρώποις, ἵνα ἦσι καὶ ἐσσομένοισιν ἀοιδή.
for-men so-that it-may-be also for-those-to-come a-song
ἦ τίς τοι καὶ πηὸς ἀπέφθιτο Ἰλιόθι πρὸ
truly any of-you also a-kinsman perished Ilion before
ἐσθλὸς ἐών, γαμβρὸς ἢ πενθερός, οἵ τε μάλιστα
noble being a-son-in-law or father-in-law who — most
κήδιστοι τελέθουσι μεθ᾽ αἷμά τε καὶ γένος αὐτῶν;
dearest are after blood both and race their-own
ἦ τίς που καὶ ἑταῖρος ἀνὴρ κεχαρισμένα εἰδώς,
or any somewhere also a-comrade man pleasing-things knowing

585 ἐσθλός; ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
noble since not indeed at-all than-a-brother worse
γίγνεται, ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἰδῇ."
is who — a-comrade being prudent-things knows

BOOK IX

IX.1 · ODYSSEUS NAMES HIMSELF

Odysseus answers that nothing is more pleasing than a feast with a minstrel, but Alcinous has asked him to tell his sorrows. He names himself: Odysseus, son of Laertes, famed for his wiles, from rugged Ithaca. Calypso and Circe both wished to keep him as a husband, but nothing is sweeter than one's own country. He begins the tale of his return from Troy.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
" Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Alcinous lord of-all most-renowned of-peoples
ἦ τοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
truly indeed indeed this fine to-hear is a-minstrel
τοιοῦδ' οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.
such as this-one is to-gods like in-voice
οὐ γὰρ ἐγώ γέ τί φημι τέλος χαριέστερον εἶναι
not for I indeed any I-say end more-gracious to-be
ἢ ὅτ' ἐυφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
than when good-cheer indeed holds throughout the-people all
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
banqueters and through the-house listen to-a-minstrel
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
sitting in-a-row beside and are-laden the-tables
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
with-bread and meats wine and from the-mixing-bowl drawing
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι·
the-wine-pourer carries-round and pours into-the-cups

τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.
this somehow to-me most-beautiful in mind seems to-be
σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο στονόεντα
your and my troubles heart turned groaning
εἴρεσθ', ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω·
to-ask so-that still more lamenting I-may-groan
τί πρῶτόν τοι ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;
what first to-you then what and last shall-I-recount
κήδε' ἐπεί μοι πολλὰ δόσαν θεοὶ Οὐρανίωνες.
troubles since to-me many gave the-gods Heavenly
νῦν δ' ὄνομα πρῶτον μυθήσομαι, ὄφρα καὶ ὑμεῖς
now and the-name first I-will-tell so-that also you
εἴδετ', ἐγὼ δ' ἂν ἔπειτα φυγὼν ὕπο νηλεὲς ἦμαρ
may-know I and — then having-escaped from pitiless day
ὑμῖν ξεῖνος ἔω καὶ ἀπόπροθι δώματα ναίων.
to-you a-guest-friend may-be even far-away a-house dwelling
εἶμ' Ὀδυσεὺς Λαερτιάδης, ὃς πᾶσι δόλοισιν
I-am Odysseus son-of-Laertes who to-all with-wiles
ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει.
men am-of-concern and my fame heaven reaches
ναιετάω δ' Ἰθάκην εὐδείελον· ἐν δ' ὄρος αὐτῇ
I-dwell-in and Ithaca clear-seen in and a-mountain on-it
Νήριτον εἰνοσίφυλλον, ἀριπρεπές· ἀμφὶ δὲ νῆσοι
Neriton leaf-quivering conspicuous around and islands
πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι,
many are-inhabited very near to-each-other
Δουλίχιόν τε Σάμη τε καὶ ὑλήεσσα Ζάκυνθος.
Dulichium both Same and and wooded Zacynthus
αὐτὴ δὲ χθαμαλὴ πανυπερτάτη εἰν ἁλὶ κεῖται
itself and low highest in the-sea lies

πρὸς ζόφον, αἱ δέ τ' ἄνευθε πρὸς ἠῶ τ' ἠέλιόν τε,
toward the-gloom they and — apart toward dawn both sun and
τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος· οὔ τοι ἐγώ γε
rugged but good nurse-of-youths not you-know I indeed
ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
than-one's-own land am-able sweeter other-thing to-see
ἦ μέν μ' αὐτόθ' ἔρυκε Καλυψώ, δῖα θεάων,
truly indeed me there held-back Calypso bright of-goddesses
ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι·
in caves hollow desiring (me)-husband to-be
ὣς δ' αὖτως Κίρκη κατερήτυεν ἐν μεγάροισιν
so and likewise Circe detained(-me) in halls
Αἰαίη δολόεσσα, λιλαιομένη πόσιν εἶναι·
Aeaean crafty desiring (me)-husband to-be
ἀλλ' ἐμὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.
but my not ever heart in breast they-persuaded
ὣς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
so nothing sweeter than-one's-own country nor than-parents
γίγνεται, εἴ περ καί τις ἀπόπροθι πίονα οἶκον
becomes if indeed also any far-off a-rich house
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.
land in foreign dwells far-from parents
εἰ δ' ἄγε τοι καὶ νόστον ἐμὸν πολυκηδέ' ἐνίσπω,
if and come to-you also the-return my of-many-sorrows let-me-tell
ὅν μοι Ζεὺς ἐφέηκεν ἀπὸ Τροίηθεν ἰόντι.
which on-me Zeus sent from from-Troy coming

From Troy the wind brought them to the Cicones, whose city they sacked. Odysseus urged flight, but his men stayed to feast; the Cicones gathered their neighbors and attacked at dawn, killing six men from each ship. Zeus sent a storm that tore the sails, and off Malea the current drove them past Cythera. After nine days they reached the land of the Lotus-eaters, and the men who ate the lotus forgot their return; Odysseus dragged them weeping to the ships.

" Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
From-Ilion me bearing the-wind to-the-Cicones brought
Ἰσμάρῳ. ἔνθα δ' ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ' αὐτούς·
to-Ismarus there and I the-city sacked destroyed and them
ἐκ πόλιος δ' ἀλόχους καὶ κτήματα πολλὰ λαβόντες
from the-city and wives and possessions many taking
δασσάμεθ', ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.
we-divided so-that not any for-me cheated might-go of-equal-share
ἔνθ' ἦ τοι μὲν ἐγὼ διερῷ ποδὶ φευγέμεν ἠμέας
then truly indeed indeed I with-swift foot to-flee us
ἠνώγεα, τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο.
bade they and greatly fools not obeyed
ἔνθα δὲ πολλὸν μὲν μέθυ πίνετο, πολλὰ δὲ μῆλα
there and much indeed wine was-drunk many and sheep
ἔσφαζον παρὰ θῖνα καὶ εἰλίποδας ἕλικας βοῦς·
they-slaughtered by the-shore and shambling crooked-horned cattle
τόφρα δ' ἄρ' οἰχόμενοι Κίκονες Κικόνεσσι γεγώνευν,
meanwhile and then going-off the-Cicones to-the-Cicones called
οἵ σφιν γείτονες ἦσαν, ἅμα πλέονες καὶ ἀρείους,
who to-them neighbors were at-once more and better

ἤπειρον ναίοντες, ἐπιστάμενοι μὲν ἀφ' ἵππων
the-mainland inhabiting skilled indeed from horses
ἀνδράσι μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα.
with-men to-fight and where it-needs on-foot being
ἦλθον ἔπειθ' ὅσα φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ,
they-came then as-many-as leaves and flowers grow in-season
ἠέριοι· τότε δή ῥα κακὴ Διὸς αἶσα παρέστη
in-the-morning then indeed then evil of-Zeus doom stood-by
ἡμῖν αἰνομόροισιν, ἵν' ἄλγεα πολλὰ πάθοιμεν.
us ill-fated so-that pains many we-might-suffer
στησάμενοι δ' ἐμάχοντο μάχην παρὰ νηυσὶ θοῇσι,
having-set(-the-battle) and they-fought the-fight by the-ships swift
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
they-struck and each-other with-bronze-tipped spears
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ,
while indeed dawn was and grew the-sacred day
τόφρα δ' ἀλεξόμενοι μένομεν πλέονάς περ ἐόντας.
so-long and warding-off we-held-our-ground more though being
ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε,
when and the-sun turned to-ox-unyoking-time
καὶ τότε δὴ Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς.
and then indeed the-Cicones routed subduing the-Achaeans
ἓξ δ' ἀφ' ἑκάστης νηὸς ἐυκνήμιδες ἑταῖροι
six and from each ship well-greaved comrades
ὤλονθ'· οἱ δ' ἄλλοι φύγομεν θάνατόν τε μόρον τε.
perished we and the-rest escaped death both fate and
" Ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
Thence and further we-sailed grieved at-heart
ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
glad from death dear having-lost comrades

οὐδ᾽ ἄρα μοι προτέρω νῆες κίον ἀμφιέλισσαι,
nor then for-me further the-ships went curved
πρίν τινα τῶν δειλῶν ἑτάρων τρὶς ἕκαστον ἀῦσαι,
before any of-the wretched comrades thrice each to-call
οἳ θάνον ἐν πεδίῳ Κικόνων ὕπο δηωθέντες.
who died on the-plain of-the-Cicones by slain
νηυσὶ δ᾽ ἐπῶρσ᾽ ἄνεμον Βορέην νεφεληγερέτα Ζεὺς
on-the-ships and roused a-wind Boreas cloud-gatherer Zeus
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
with-a-hurricane wondrous with and clouds covered
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ.
earth together and sea arose and from-heaven night
αἱ μὲν ἔπειτ᾽ ἐφέροντ᾽ ἐπικάρσιαι, ἱστία δέ σφιν
they indeed then were-borne headlong the-sails and their
τριχθά τε καὶ τετραχθὰ διέσχισεν ἶς ἀνέμοιο.
in-three both and in-four tore the-strength of-the-wind
καὶ τὰ μὲν ἐς νῆας κάθεμεν, δείσαντες ὄλεθρον,
and them indeed into the-ships we-lowered fearing destruction
αὐτὰς δ᾽ ἐσσυμένως προερέσσαμεν ἤπειρόνδε.
themselves and hastily we-rowed-forward to-the-land
ἔνθα δύω νύκτας δύο τ᾽ ἤματα συνεχὲς αἰεὶ
there two nights two and days continually always
κείμεθ᾽, ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.
we-lay together with-weariness both and with-pains heart eating
ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ᾽ Ἠώς,
but when indeed the-third day fair-tressed accomplished Dawn
ἱστοὺς στησάμενοι ἀνά θ᾽ ἱστία λεύκ᾽ ἐρύσαντες
masts having-set-up up and sails white hoisting
ἥμεθα, τὰς δ᾽ ἄνεμός τε κυβερνῆταί τ᾽ ἴθυνον.
we-sat them and wind both helmsmen and steered

καί νύ κεν ἀσκηθὴς ἱκόμην ἐς πατρίδα γαῖαν·
and now — unscathed I-would-have-reached to native land
ἀλλά με κῦμα ῥόος τε περιγνάμπτοντα Μάλειαν
but me the-wave current and rounding Malea
καὶ Βορέης ἀπέωσε, παρέπλαγξεν δὲ Κυθήρων.
and Boreas thrust-away drove-astray and past-Cythera
“ Ἔνθεν δ’ ἐννῆμαρ φερόμην ὀλοοῖς ἀνέμοισιν
Thence and for-nine-days I-was-borne by-deadly winds
πόντον ἐπ’ ἰχθυόεντα· ἀτὰρ δεκάτῃ ἐπέβημεν
the-sea over fish-filled but on-the-tenth we-set-foot
γαίης Λωτοφάγων, οἵ τ’ ἄνθινον εἶδαρ ἔδουσιν.
on-the-land of-the-Lotus-eaters who — flowery food eat
ἔνθα δ’ ἐπ’ ἠπείρου βῆμεν καὶ ἀφυσσάμεθ’ ὕδωρ,
there and on the-mainland we-went and drew water
αἶψα δὲ δεῖπνον ἕλοντο θοῇς παρὰ νηυσὶν ἑταῖροι.
at-once and dinner took swift by ships comrades
αὐτὰρ ἐπεὶ σίτοιό τ’ ἐπασσάμεθ’ ἠδὲ ποτῆτος,
but when of-bread both we-had-tasted and of-drink
δὴ τότ’ ἐγὼν ἑτάρους προΐειν πεύθεσθαι ἰόντας,
indeed then I comrades sent-forth to-learn going
οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες
who any men they-might-be on earth bread eating
ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ’ ἅμ’ ὀπάσσας.
men two having-chosen a-third a-herald with(-them) sending
οἱ δ’ αἶψ’ οἰχόμενοι μίγεν ἀνδράσι Λωτοφάγοισιν·
they and at-once going mixed with-men Lotus-eaters
οὐδ’ ἄρα Λωτοφάγοι μήδονθ’ ἑτάροισιν ὄλεθρον
nor then the-Lotus-eaters devised for-comrades destruction
ἡμετέροις, ἀλλά σφι δόσαν λωτοῖο πάσασθαι.
our but to-them gave of-the-lotus to-taste

τῶν δ' ὅς τις λωτοῖο φάγοι μελιηδέα καρπόν,
of-them and who any of-the-lotus ate the-honey-sweet fruit
οὐκέτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν οὐδὲ νέεσθαι,
no-longer to-report back wished nor to-return
ἀλλ' αὐτοῦ βούλοντο μετ' ἀνδράσι Λωτοφάγοισι
but there they-wished among men Lotus-eaters
λωτὸν ἐρεπτόμενοι μενέμεν νόστου τε λαθέσθαι.
lotus feeding-on to-stay of-return and to-forget
τοὺς μὲν ἐγὼν ἐπὶ νῆας ἄγον κλαίοντας ἀνάγκῃ,
them indeed I to the-ships led weeping by-force
νηυσὶ δ' ἐνὶ γλαφυρῇσιν ὑπὸ ζυγὰ δῆσα ἐρύσσας.
the-ships and in hollow under the-benches I-bound dragging(-them)
αὐτὰρ τοὺς ἄλλους κελόμην ἐρίηρας ἑταίρους
but the others I-bade trusty comrades
σπερχομένους νηῶν ἐπιβαινέμεν ὠκειάων,
hastening the-ships to-board swift
μή πώς τις λωτοῖο φαγὼν νόστοιο λάθηται.
lest somehow any of-the-lotus eating of-return forget
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθίζον,
they and at-once embarked and on benches sat
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
in-a-row and sitting the-gray sea smote with-oars

They came to the land of the Cyclopes, who neither plant nor plow and have no assemblies or laws. Off their coast lies a wooded island full of wild goats, never settled, since the Cyclopes have no ships. A god led the fleet into its harbor in the dark. They hunted and feasted, and next day Odysseus took his own ship to see what kind of men the Cyclopes were.

" Ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ·
Thence and further we-sailed grieved at-heart
Κυκλώπων δ' ἐς γαῖαν ὑπερφιάλων ἀθεμίστων
of-the-Cyclopes and to the-land overweening lawless
ἱκόμεθ', οἵ ῥα θεοῖσι πεποιθότες ἀθανάτοισιν
we-came who then in-the-gods trusting immortal
οὔτε φυτεύουσιν χερσὶν φυτὸν οὔτ' ἀρόωσιν,
neither plant with-hands a-plant nor plow
ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται,
but these indeed unsown and unplowed all grow
πυροὶ καὶ κριθαὶ ἠδ' ἄμπελοι, αἵ τε φέρουσιν
wheat and barley and vines which — bear
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει.
wine of-rich-clusters and for-them of-Zeus rain makes-grow
τοῖσιν δ' οὔτ' ἀγοραὶ βουληφόροι οὔτε θέμιστες,
to-them and neither assemblies counsel-bearing nor laws
ἀλλ' οἵ γ' ὑψηλῶν ὀρέων ναίουσι κάρηνα
but they indeed of-lofty mountains inhabit the-peaks
ἐν σπέσσι γλαφυροῖσι, θεμιστεύει δὲ ἕκαστος
in caves hollow gives-law and each
παίδων ἠδ' ἀλόχων, οὐδ' ἀλλήλων ἀλέγουσιν.
to-children and wives nor for-each-other do-they-care

"Νῆσος ἔπειτα λάχεια παρὲκ λιμένος τετάνυσται,
An-island then small outside the-harbor stretches
γαίης Κυκλώπων οὔτε σχεδὸν οὔτ' ἀποτηλοῦ,
of-the-land of-the-Cyclopes neither near nor far-off
ὑλήεσσ'· ἐν δ' αἶγες ἀπειρέσιαι γεγάασιν
wooded in and goats countless are-born
ἄγριαι· οὐ μὲν γὰρ πάτος ἀνθρώπων ἀπερύκει,
wild not indeed for tread of-men keeps(-them)-away
οὐδέ μιν εἰσοιχνεῦσι κυνηγέται, οἵ τε καθ' ὕλην
nor it enter hunters who — through wood
ἄλγεα πάσχουσιν κορυφὰς ὀρέων ἐφέποντες.
pains suffer peaks of-mountains following
οὔτ' ἄρα ποίμνῃσιν καταΐσχεται οὔτ' ἀρότοισιν,
neither then with-flocks is-it-held nor with-plowings
ἀλλ' ἥ γ' ἄσπαρτος καὶ ἀνήροτος ἤματα πάντα
but it indeed unsown and unplowed days all
ἀνδρῶν χηρεύει, βόσκει δέ τε μηκάδας αἶγας.
of-men is-bereft feeds and — bleating goats
οὐ γὰρ Κυκλώπεσσι νέες πάρα μιλτοπάρῃοι,
not for to-the-Cyclopes ships are-at-hand red-cheeked
οὐδ' ἄνδρες νηῶν ἔνι τέκτονες, οἵ κε κάμοιεν
nor men of-ships are-among(-them) builders who — might-build
νῆας ἐυσσέλμους, αἵ κεν τελέοιεν ἕκαστα
ships well-benched which — might-accomplish each-thing
ἄστε' ἐπ' ἀνθρώπων ἱκνεύμεναι, οἷά τε πολλὰ
cities to of-men going such-as — many
ἄνδρες ἐπ' ἀλλήλους νηυσὶν περόωσι θάλασσαν·
men to each-other in-ships cross the-sea
οἵ κέ σφιν καὶ νῆσον ἐυκτιμένην ἐκάμοντο.
who — for-them also the-island well-settled would-have-made

οὐ μὲν γάρ τι κακή γε, φέροι δέ κεν ὥρια πάντα·
not indeed for at-all bad indeed it-would-bear and — in-season all
ἐν μὲν γὰρ λειμῶνες ἁλὸς πολιοῖο παρ' ὄχθας
in indeed for meadows of-the-sea gray beside the-banks
ὑδρηλοὶ μαλακοί· μάλα κ' ἄφθιτοι ἄμπελοι εἶεν.
well-watered soft very — imperishable vines would-be
ἐν δ' ἄροσις λείη· μάλα κεν βαθὺ λήιον αἰεὶ
in and plowland level very — deep crop always
εἰς ὥρας ἀμῷεν, ἐπεὶ μάλα πῖαρ ὑπ' οὐδας. 135
at the-seasons they-would-reap since very fat under the-soil
ἐν δὲ λιμὴν εὔορμος, ἵν' οὐ χρεὼ πείσματός ἐστιν,
in and a-harbor good-for-anchoring where not need of-a-cable is
οὔτ' εὐνὰς βαλέειν οὔτε πρυμνήσι' ἀνάψαι,
neither anchor-stones to-throw nor stern-cables to-tie
ἀλλ' ἐπικέλσαντας μεῖναι χρόνον εἰς ὅ κε ναυτέων
but having-beached to-wait time until (the-time)-when — of-the-sailors
θυμὸς ἐποτρύνῃ καὶ ἐπιπνεύσωσιν ἀῆται.
heart urges and blow-upon(-them) the-breezes
αὐτὰρ ἐπὶ κρατὸς λιμένος ῥέει ἀγλαὸν ὕδωρ, 140
but at the-head of-the-harbor flows bright water
κρήνη ὑπὸ σπείους· περὶ δ' αἴγειροι πεφύασιν.
a-spring under a-cave around and poplars grow
ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευεν
there we-sailed-in and some god led(-us)
νύκτα δι' ὀρφναίην, οὐδὲ προυφαίνετ' ἰδέσθαι·
night through murky nor did-it-show-itself to-see
ἀὴρ γὰρ περὶ νηυσὶ βαθεῖ' ἦν, οὐδὲ σελήνη
mist for around the-ships deep was nor the-moon
οὐρανόθεν προύφαινε, κατείχετο δὲ νεφέεσσιν. 145
from-heaven showed-forth was-held-down and by-clouds

ἔνθ᾽ οὔ τις τὴν νῆσον ἐσέδρακεν ὀφθαλμοῖσιν,
then not any the island saw with-eyes
οὔτ᾽ οὖν κύματα μακρὰ κυλινδόμενα προτὶ χέρσον
nor then waves long rolling toward land
εἰσίδομεν, πρὶν νῆας ἐυσσέλμους ἐπικέλσαι.
we-saw before ships well-benched to-beach
κελσάσῃσι δὲ νηυσὶ καθείλομεν ἱστία πάντα,
beached and the-ships we-lowered sails all
ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης·
out and also ourselves went on the-breakers of-the-sea
ἔνθα δ᾽ ἀποβρίξαντες ἐμείναμεν Ἠῶ δῖαν.
there and falling-asleep we-awaited Dawn bright
“ Ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
νῆσον θαυμάζοντες ἐδινεόμεσθα κατ᾽ αὐτήν.
the-island marveling-at we-roamed over it
ὦρσαν δὲ νύμφαι, κοῦραι Διὸς αἰγιόχοιο,
roused and nymphs daughters of-Zeus aegis-bearing
αἶγας ὀρεσκῴους, ἵνα δειπνήσειαν ἑταῖροι.
goats mountain-roaming so-that might-dine comrades
αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους
at-once curved bows and hunting-spears long-socketed
εἱλόμεθ᾽ ἐκ νηῶν, διὰ δὲ τρίχα κοσμηθέντες
we-took from the-ships apart and in-three divided
βάλλομεν· αἶψα δ᾽ ἔδωκε θεὸς μενοεικέα θήρην.
we-shot at-once and gave the-god satisfying game
νῆες μέν μοι ἕποντο δυώδεκα, ἐς δὲ ἑκάστην
ships indeed me followed twelve to and each
ἐννέα λάγχανον αἶγες· ἐμοὶ δὲ δέκ᾽ ἔξελον οἴῳ.
nine fell-by-lot goats to-me and ten they-chose alone

“ Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
So then indeed all day to sun setting
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
we-sat feasting meats both boundless and wine sweet
οὐ γάρ πω νηῶν ἐξέφθιτο οἶνος ἐρυθρός,
not for yet from-the-ships was-spent wine red
ἀλλ᾽ ἐνέην· πολλὸν γὰρ ἐν ἀμφιφορεῦσιν ἕκαστοι
but was-in much for in jars each
ἠφύσαμεν Κικόνων ἱερὸν πτολίεθρον ἑλόντες. 165
we-had-drawn of-the-Cicones sacred citadel having-taken
Κυκλώπων δ᾽ ἐς γαῖαν ἐλεύσσομεν ἐγγὺς ἐόντων,
of-the-Cyclopes and to land we-looked near being
καπνόν τ᾽ αὐτῶν τε φθογγὴν ὀίων τε καὶ αἰγῶν.
smoke both of-them and voice of-sheep both and of-goats
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
when and the-sun set and on darkness came
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
indeed then we-slept on the-breakers of-the-sea
ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς, 170
when and early-born appeared rosy-fingered Dawn
καὶ τότ᾽ ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον·
and then I an-assembly having-called among all spoke
“‘ Ἄλλοι μὲν νῦν μίμνετ᾽, ἐμοὶ ἐρίηρες ἑταῖροι·
Others indeed now stay my trusty comrades
αὐτὰρ ἐγὼ σὺν νηί τ᾽ ἐμῇ καὶ ἐμοῖς ἑτάροισιν
but I with ship both my and my comrades
ἐλθὼν τῶνδ᾽ ἀνδρῶν πειρήσομαι, οἵ τινές εἰσιν,
going of-these men will-make-trial who — they-are

ἤ ῥ᾽ οἵ γ᾽ ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
whether then they indeed insolent both and savage nor just
ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής.᾽
or hospitable and their mind is god-fearing
“ Ὣς εἰπὼν ἀνὰ νηὸς ἔβην, ἐκέλευσα δ᾽ ἑταίρους
So having-spoken up the-ship I-went bade and the-comrades
αὐτούς τ᾽ ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
themselves both to-embark up and the-stern-cables to-loose
οἱ δ᾽ αἶψ᾽ εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
they and at-once embarked and on benches sat
ἑξῆς δ᾽ ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
in-a-row and sitting the-gray sea smote with-oars
ἀλλ᾽ ὅτε δὴ τὸν χῶρον ἀφικόμεθ᾽ ἐγγὺς ἐόντα,
but when indeed the place we-reached near being
ἔνθα δ᾽ ἐπ᾽ ἐσχατιῇ σπέος εἴδομεν ἄγχι θαλάσσης,
there and at the-border a-cave we-saw near the-sea
ὑψηλόν, δάφνῃσι κατηρεφές. ἔνθα δὲ πολλὰ
lofty with-laurels overhung there and many
μῆλ᾽, ὄιές τε καὶ αἶγες, ἰαύεσκον· περὶ δ᾽ αὐλὴ
flocks sheep both and goats slept around and a-court
ὑψηλὴ δέδμητο κατωρυχέεσσι λίθοισι
high was-built with-deep-bedded stones
μακρῇσίν τε πίτυσσιν ἰδὲ δρυσὶν ὑψικόμοισιν.
with-tall both pines and oaks high-leafed
ἔνθα δ᾽ ἀνὴρ ἐνίαυε πελώριος, ὅς ῥα τὰ μῆλα
there and a-man slept monstrous who then the flocks
οἶος ποιμαίνεσκεν ἀπόπροθεν· οὐδὲ μετ᾽ ἄλλους
alone shepherded far-off nor among others
πωλεῖτ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐὼν ἀθεμίστια ἤδη.
went-about but apart being lawless-things knew

καὶ γὰρ θαῦμ᾽ ἐτέτυκτο πελώριον, οὐδὲ ἐῴκει
and for a-wonder was-made monstrous nor was-he-like
ἀνδρί γε σιτοφάγῳ, ἀλλὰ ῥίῳ ὑλήεντι
to-a-man indeed bread-eating but to-a-peak wooded
ὑψηλῶν ὀρέων, ὅ τε φαίνεται οἶον ἀπ᾽ ἄλλων.
of-lofty mountains which — appears alone from others

IX.4 · IN THE CAVE OF POLYPHEMUS

Odysseus took twelve men and a skin of strong wine given him by Maron, priest of Apollo. They found the cave full of cheeses and lambs; his men begged him to take what they could and go, but he wanted to see its owner. The Cyclops came home, shut the cave with a huge stone, and asked who they were. Odysseus asked for the gifts due to strangers in Zeus' name, but the Cyclops scorned the gods, dashed out two men's brains, and ate them. Odysseus did not stab him as he lay, since they could never have moved the stone.

"Δὴ τότε τοὺς ἄλλους κελόμην ἐρίηρας ἑταίρους
Indeed then the others I-bade trusty comrades
αὐτοῦ πὰρ νηί τε μένειν καὶ νῆα ἔρυσθαι,
there by the-ship both to-stay and the-ship to-guard
αὐτὰρ ἐγὼ κρίνας ἑτάρων δυοκαίδεκ᾽ ἀρίστους
but I having-chosen of-comrades twelve best
βῆν· ἀτὰρ αἴγεον ἀσκὸν ἔχον μέλανος οἴνοιο
went but a-goat's skin I-had of-black wine
ἡδέος, ὅν μοι ἔδωκε Μάρων, Εὐάνθεος υἱός,
sweet which to-me gave Maron of-Euanthes son
ἱρεὺς Ἀπόλλωνος, ὃς Ἴσμαρον ἀμφιβεβήκει,
priest of-Apollo who Ismarus guarded

οὕνεκά μιν σὺν παιδὶ περισχόμεθ᾽ ἠδὲ γυναικὶ
because him with child we-protected and wife
ἀζόμενοι· ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι
revering(-him) he-dwelt for in a-grove wooded
Φοίβου Ἀπόλλωνος. ὁ δέ μοι πόρεν ἀγλαὰ δῶρα·
of-Phoebus Apollo he and to-me gave glorious gifts
χρυσοῦ μέν μοι ἔδωκ᾽ ἐυεργέος ἑπτὰ τάλαντα,
of-gold indeed to-me he-gave well-wrought seven talents
δῶκε δέ μοι κρητῆρα πανάργυρον, αὐτὰρ ἔπειτα
gave and to-me a-mixing-bowl all-silver but then
οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα πᾶσιν ἀφύσσας
wine in jars twelve in-all having-drawn
ἡδὺν ἀκηράσιον, θεῖον ποτόν· οὐδέ τις αὐτὸν
sweet unmixed divine drink nor any it
ἠείδη δμώων οὐδ᾽ ἀμφιπόλων ἐνὶ οἴκῳ,
knew of-the-servants nor of-the-handmaids in the-house
ἀλλ᾽ αὐτὸς ἄλοχός τε φίλη ταμίη τε μί᾽ οἴη.
but himself wife and dear housekeeper and one only
τὸν δ᾽ ὅτε πίνοιεν μελιηδέα οἶνον ἐρυθρόν,
it and when they-drank honey-sweet wine red
ἓν δέπας ἐμπλήσας ὕδατος ἀνὰ εἴκοσι μέτρα
one cup having-filled of-water up-to twenty measures
χεῦ᾽, ὀδμὴ δ᾽ ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει
he-poured smell and sweet from the-mixing-bowl rose
θεσπεσίη· τότ᾽ ἂν οὔ τοι ἀποσχέσθαι φίλον ἦεν.
wondrous then — not you-know to-refrain dear was

τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἦα
of-it I-carried having-filled a-skin great in and also provisions
κωρύκῳ· αὐτίκα γάρ μοι ὀίσατο θυμὸς ἀγήνωρ
in-a-bag at-once for to-me foreboded the-heart proud
ἄνδρ' ἐπελεύσεσθαι μεγάλην ἐπιειμένον ἀλκήν,
a-man would-come great clothed-in strength
ἄγριον, οὔτε δίκας ἐὺ εἰδότα οὔτε θέμιστας. 215
savage neither judgments well knowing nor laws
"Καρπαλίμως δ' εἰς ἄντρον ἀφικόμεθ', οὐδέ μιν ἔνδον
Swiftly and to the-cave we-came nor him inside
εὕρομεν, ἀλλ' ἐνόμευε νομὸν κάτα πίονα μῆλα.
we-found but he-was-pasturing the-pasture over the-fat flocks
ἐλθόντες δ' εἰς ἄντρον ἐθηεύμεσθα ἕκαστα.
coming and into the-cave we-gazed-at each-thing
ταρσοὶ μὲν τυρῶν βρίθον, στείνοντο δὲ σηκοὶ
racks indeed with-cheeses were-laden were-crowded and the-pens
ἀρνῶν ἠδ' ἐρίφων· διακεκριμέναι δὲ ἕκασται 220
with-lambs and with-kids separated and each
ἔρχατο, χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι,
were-penned apart indeed the-firstlings apart and the-middlings
χωρὶς δ' αὖθ' ἕρσαι. ναῖον δ' ὀρῷ ἄγγεα πάντα,
apart and in-turn the-newborns swam and with-whey vessels all
γαυλοί τε σκαφίδες τε, τετυγμένα, τοῖς ἐνάμελγεν.
pails both bowls and wrought into-which he-milked

ἔνθ᾽ ἐμὲ μὲν πρώτισθ᾽ ἕταροι λίσσοντ᾽ ἐπέεσσιν
there me indeed first-of-all the-comrades begged with-words
τυρῶν αἰνυμένους ἰέναι πάλιν, αὐτὰρ ἔπειτα
of-the-cheeses taking to-go back but then
καρπαλίμως ἐπὶ νῆα θοὴν ἐρίφους τε καὶ ἄρνας
swiftly to the-ship swift kids both and lambs
σηκῶν ἐξελάσαντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ·
from-the-pens driving-out to-sail-over the-salt water
ἀλλ᾽ ἐγὼ οὐ πιθόμην, ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν,
but I not obeyed truly — — much more-profitable it-would-have-been
ὄφρ᾽ αὐτόν τε ἴδοιμι, καὶ εἴ μοι ξείνια δοίη.
so-that him both I-might-see and if to-me gifts-of-guests he-might-give
οὐδ᾽ ἄρ᾽ ἔμελλ᾽ ἑτάροισι φανεὶς ἐρατεινὸς ἔσεσθαι.
nor then was-he-to to-the-comrades appearing lovely to-be
“ Ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν ἠδὲ καὶ αὐτοὶ
There and a-fire having-kindled we-sacrificed and also ourselves
τυρῶν αἰνύμενοι φάγομεν, μένομέν τέ μιν ἔνδον
of-the-cheeses taking we-ate we-waited and him inside
ἥμενοι, ἧος ἐπῆλθε νέμων. φέρε δ᾽ ὄβριμον ἄχθος
sitting until he-came herding he-carried and a-mighty load
ὕλης ἀζαλέης, ἵνα οἱ ποτιδόρπιον εἴη,
of-wood dry so-that for-him for-supper it-might-be
ἔντοσθεν δ᾽ ἄντροιο βαλὼν ὀρυμαγδὸν ἔθηκεν·
inside and the-cave having-thrown(-it) a-din he-made
ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ᾽ ἐς μυχὸν ἄντρου.
we and fearing rushed-back into the-recess of-the-cave
αὐτὰρ ὅ γ᾽ εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα
but he indeed into wide cave drove the-fat flocks
πάντα μάλ᾽ ὅσσ᾽ ἤμελγε, τὰ δ᾽ ἄρσενα λεῖπε θύρηφιν,
all very as-many-as he-milked the and males he-left at-the-door

ἀρνειούς τε τράγους τε, βαθείης ἔκτοθεν αὐλῆς.
rams both he-goats and of-the-deep outside court
αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας,
but then he-put-on a-door-stone great on-high lifting(-it)
ὄβριμον· οὐκ ἂν τόν γε δύω καὶ εἴκοσ' ἄμαξαι
mighty not — it indeed two and twenty wagons
ἐσθλαὶ τετράκυκλοι ἀπ' οὐδεος ὀχλίσσειαν·
good four-wheeled from the-ground could-lever
τόσσην ἠλίβατον πέτρην ἐπέθηκε θύρῃσιν.
so-huge a-sheer rock he-put on-the-doors
ἑζόμενος δ' ἤμελγεν ὄις καὶ μηκάδας αἶγας,
sitting and he-milked ewes and bleating goats
πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστῃ.
all according-to order and under young he-put to-each
αὐτίκα δ' ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος
at-once and half indeed curdling of-the-white milk
πλεκτοῖς ἐν ταλάροισιν ἀμησάμενος κατέθηκεν,
woven in baskets having-gathered he-laid-down
ἥμισυ δ' αὖτ' ἔστησεν ἐν ἄγγεσιν, ὄφρα οἱ εἴη
half and in-turn he-set in vessels so-that for-him it-might-be
πίνειν αἰνυμένῳ καί οἱ ποτιδόρπιον εἴη.
to-drink taking and for-him for-supper it-might-be
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
but when indeed he-hastened having-labored the his works
καὶ τότε πῦρ ἀνέκαιε καὶ εἴσιδεν, εἴρετο δ' ἡμέας·
and then fire he-kindled and saw(-us) asked and us
"'Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;
O strangers who are-you whence do-you-sail wet ways
ἦ τι κατὰ πρῆξιν ἢ μαψιδίως ἀλάλησθε,
whether at-all on business or recklessly do-you-wander

οἷά τε ληιστῆρες, ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται
like — pirates over the-sea who — wander
ψυχὰς παρθέμενοι κακὸν ἀλλοδαποῖσι φέροντες;'
lives staking evil to-foreigners bringing
"' Ὣς ἔφαθ', ἡμῖν δ' αὖτε κατεκλάσθη φίλον ἦτορ,
So he-spoke for-us and in-turn was-broken dear heart
δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον.
fearing the-voice both heavy himself and monstrous
ἀλλὰ καὶ ὥς μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
but even so him with-words answering I-addressed
"'' Ἡμεῖς τοι Τροίηθεν ἀποπλαγχθέντες Ἀχαιοὶ
We you-know from-Troy driven-astray Achaeans
παντοίοις ἀνέμοισιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης,
by-all-kinds-of winds over great gulf of-the-sea
οἴκαδε ἱέμενοι, ἄλλην ὁδὸν ἄλλα κέλευθα
home eager by-another way other paths
ἤλθομεν· οὕτω που Ζεὺς ἤθελε μητίσασθαι.
came so surely Zeus wished to-devise
λαοὶ δ' Ἀτρεΐδεω Ἀγαμέμνονος εὐχόμεθ' εἶναι,
people and of-the-son-of-Atreus Agamemnon we-declare-ourselves to-be
τοῦ δὴ νῦν γε μέγιστον ὑπουράνιον κλέος ἐστί·
whose indeed now indeed greatest under-heaven fame is
τόσσην γὰρ διέπερσε πόλιν καὶ ἀπώλεσε λαοὺς
so-great for he-sacked a-city and destroyed peoples
πολλούς. ἡμεῖς δ' αὖτε κιχανόμενοι τὰ σὰ γοῦνα
many we and in-turn coming-to those your knees
ἱκόμεθ', εἴ τι πόροις ξεινήιον ἠὲ καὶ ἄλλως
come if any you-might-give a-guest-gift or also otherwise
δοίης δωτίνην, ἥ τε ξείνων θέμις ἐστίν.
you-might-give a-gift which — of-strangers right is

ἀλλ᾽ αἰδεῖο, φέριστε, θεούς· ἱκέται δέ τοί εἰμεν,
but respect best-one the-gods suppliants and to-you we-are
Ζεὺς δ᾽ ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε,
Zeus and avenger of-suppliants both of-strangers and
ξείνιος, ὃς ξείνοισιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ.᾽
god-of-strangers who strangers with revered attends
“ Ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμείβετο νηλέι θυμῷ·
So I-spoke he and me at-once answered with-pitiless heart
Νήπιός εἰς, ὦ ξεῖν᾽, ἢ τηλόθεν εἰλήλουθας,
Foolish you-are O stranger or from-afar have-come
ὅς με θεοὺς κέλεαι ἢ δειδίμεν ἢ ἀλέασθαι·
who me the-gods bid either to-fear or to-avoid
οὐ γὰρ Κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν
not for the-Cyclopes of-Zeus aegis-bearing care
οὐδὲ θεῶν μακάρων, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν·
nor of-the-gods blessed since truly much stronger we-are
οὐδ᾽ ἂν ἐγὼ Διὸς ἔχθος ἀλευάμενος πεφιδοίμην
nor — I of-Zeus the-enmity shunning would-spare
οὔτε σεῦ οὔθ᾽ ἑτάρων, εἰ μὴ θυμός με κελεύοι.
neither you nor comrades if not heart me should-bid
ἀλλά μοι εἶφ᾽ ὅπῃ ἔσχες ἰὼν ἐυεργέα νῆα,
but to-me tell where you-moored coming the-well-built ship
ἦ που ἐπ᾽ ἐσχατιῆς, ἦ καὶ σχεδόν, ὄφρα δαείω.᾽
whether somewhere at the-border or also near so-that I-may-learn
“ Ὣς φάτο πειράζων, ἐμὲ δ᾽ οὐ λάθεν εἰδότα πολλά,
So he-spoke testing(-me) me and not he-eluded knowing many-things
ἀλλά μιν ἄψορρον προσέφην δολίοις ἐπέεσσι·
but him in-return I-addressed with-crafty words

"'Νέα μέν μοι κατέαξε Ποσειδάων ἐνοσίχθων
The-ship indeed of-mine shattered Poseidon earth-shaker
πρὸς πέτρῃσι βαλὼν ὑμῆς ἐπὶ πείρασι γαίης,
against rocks dashing(-it) your at the-ends of-the-land
ἄκρῃ προσπελάσας· ἄνεμος δ' ἐκ πόντου ἔνεικεν·
to-a-headland bringing(-it) the-wind and from the-sea carried(-it)
αὐτὰρ ἐγὼ σὺν τοῖσδε ὑπέκφυγον αἰπὺν ὄλεθρον.'
but I with these escaped sheer destruction
"Ὣς ἐφάμην, ὁ δέ μ' οὐδὲν ἀμείβετο νηλέι θυμῷ,
So I-spoke he and me nothing answered with-pitiless heart
ἀλλ' ὅ γ' ἀναΐξας ἑτάροις ἐπὶ χεῖρας ἴαλλε,
but he indeed springing-up the-comrades on hands laid
σὺν δὲ δύω μάρψας ὥς τε σκύλακας ποτὶ γαίῃ
together and two seizing like — puppies on the-ground
κόπτ'· ἐκ δ' ἐγκέφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.
dashed out and the-brain to-the-ground flowed wetted and the-earth
τοὺς δὲ διὰ μελεϊστὶ ταμὼν ὡπλίσσατο δόρπον·
them and apart limb-by-limb cutting he-prepared supper
ἤσθιε δ' ὥς τε λέων ὀρεσίτροφος, οὐδ' ἀπέλειπεν,
he-ate and like — a-lion mountain-bred nor left
ἔγκατά τε σάρκας τε καὶ ὀστέα μυελόεντα.
entrails both flesh and also bones marrowy
ἡμεῖς δὲ κλαίοντες ἀνεσχέθομεν Διὶ χεῖρας,
we and weeping held-up to-Zeus hands
σχέτλια ἔργ' ὁρόωντες, ἀμηχανίῃ δ' ἔχε θυμόν.
cruel deeds seeing helplessness and held heart
αὐτὰρ ἐπεὶ Κύκλωψ μεγάλην ἐμπλήσατο νηδὺν
but when the-Cyclops great had-filled belly
ἀνδρόμεα κρέ' ἔδων καὶ ἐπ' ἄκρητον γάλα πίνων,
human flesh eating and on unmixed milk drinking

κεῖτ᾽ ἔντοσθ᾽ ἄντροιο τανυσσάμενος διὰ μήλων.
he-lay within the-cave stretched-out among the-flocks
τὸν μὲν ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμὸν
him indeed I planned in great-hearted heart
ἆσσον ἰών, ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
nearer going sword sharp drawing from thigh
οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἦπαρ ἔχουσι,
to-wound in the-breast where the-midriff the-liver holds
χείρ᾽ ἐπιμασσάμενος· ἕτερος δέ με θυμὸς ἔρυκεν.
with-hand feeling(-for-the-place) another but me heart held-back
αὐτοῦ γάρ κε καὶ ἄμμες ἀπωλόμεθ᾽ αἰπὺν ὄλεθρον·
there for — also we would-have-perished sheer destruction
οὐ γάρ κεν δυνάμεσθα θυράων ὑψηλάων
not for — we-would-have-been-able from-the-doors lofty
χερσὶν ἀπώσασθαι λίθον ὄβριμον, ὃν προσέθηκεν.
with-hands to-push-away the-stone mighty which he-had-put-against(-them)
ὣς τότε μὲν στενάχοντες ἐμείναμεν Ἠῶ δῖαν.
so then indeed groaning we-awaited Dawn bright

Next day the Cyclops ate two more men and drove out his flocks. Odysseus cut a length of the Cyclops' olive club, sharpened it, and hardened it in the fire; four men were chosen by lot to help him. That evening he gave the Cyclops the wine three times, and told him his name was Noman. When the drunken Cyclops slept, they drove the glowing stake into his eye and twisted it, and he roared for the other Cyclopes.

" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
καὶ τότε πῦρ ἀνέκαιε καὶ ἤμελγε κλυτὰ μῆλα,
and then fire he-kindled and milked the-glorious flocks
πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστῃ.
all according-to due and under young he-put to-each
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
but when indeed he-hastened having-labored the his works
σὺν δ' ὅ γε δὴ αὖτε δύω μάρψας ὡπλίσσατο δεῖπνον.
together and he indeed indeed again two seizing prepared dinner
δειπνήσας δ' ἄντρου ἐξήλασε πίονα μῆλα,
having-dined and from-the-cave he-drove-out the-fat flocks
ῥηιδίως ἀφελὼν θυρεὸν μέγαν· αὐτὰρ ἔπειτα
easily removing the-door-stone great but then
ἂψ ἐπέθηχ', ὡς εἴ τε φαρέτρῃ πῶμ' ἐπιθείη.
back he-put(-it)-on as if — on-a-quiver a-lid one-might-put
πολλῇ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα
with-much and whistling to the-mountain turned the-fat flocks
Κύκλωψ· αὐτὰρ ἐγὼ λιπόμην κακὰ βυσσοδομεύων,
the-Cyclops but I was-left evils deep-devising
εἴ πως τισαίμην, δοίη δέ μοι εὖχος Ἀθήνη.
if somehow I-might-take-vengeance should-grant and to-me glory Athena

“Ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
This and to-me in heart best appeared the-plan
Κύκλωπος γὰρ ἔκειτο μέγα ῥόπαλον παρὰ σηκῷ,
of-the-Cyclops for lay great club by the-pen
χλωρὸν ἐλαΐνεον· τὸ μὲν ἔκταμεν, ὄφρα φοροίη
green of-olive-wood it indeed he-had-cut so-that he-might-carry(-it)
αὐανθέν. τὸ μὲν ἄμμες ἐίσκομεν εἰσορόωντες
when-dried it indeed we likened looking-at(-it)
ὅσσον θ’ ἱστὸν νηὸς ἐεικοσόροιο μελαίνης,
as-great-as — the-mast of-a-ship twenty-oared black
φορτίδος εὐρείης, ἥ τ’ ἐκπεράᾳ μέγα λαῖτμα·
of-a-freighter broad which — crosses the-great gulf
τόσσον ἔην μῆκος, τόσσον πάχος εἰσοράασθαι.
so-great was in-length so-great in-thickness to-look-on
τοῦ μὲν ὅσον τ’ ὄργυιαν ἐγὼν ἀπέκοψα παραστὰς
of-it indeed as-much-as — a-fathom I cut-off standing-by
καὶ παρέθηχ’ ἑτάροισιν, ἀποξῦναι δ’ ἐκέλευσα·
and set(-it)-beside the-comrades to-smooth-down and I-bade
οἱ δ’ ὁμαλὸν ποίησαν· ἐγὼ δ’ ἐθόωσα παραστὰς
they and smooth made(-it) I and sharpened standing-by
ἄκρον, ἄφαρ δὲ λαβὼν ἐπυράκτεον ἐν πυρὶ κηλέῳ.
the-tip straightway and taking(-it) I-hardened in fire burning
καὶ τὸ μὲν εὖ κατέθηκα κατακρύψας ὑπὸ κόπρῳ,
and it indeed well I-laid-away hiding(-it) under the-dung
ἦ ῥα κατὰ σπείους κέχυτο μεγάλ’ ἤλιθα πολλή·
which then throughout the-cave was-poured greatly very much
αὐτὰρ τοὺς ἄλλους κλήρῳ πεπαλάσθαι ἄνωγον,
but the others by-lot to-have-cast-lots I-bade

ὅς τις τολμήσειεν ἐμοὶ σὺν μοχλὸν ἀείρας
who any should-dare with-me together the-bar lifting
τρῦψαι ἐν ὀφθαλμῷ, ὅτε τὸν γλυκὺς ὕπνος ἱκάνοι.
to-grind(-it) into the-eye when him sweet sleep should-come-on
οἱ δ' ἔλαχον τοὺς ἄν κε καὶ ἤθελον αὐτὸς ἑλέσθαι,
they and drew-the-lot whom — — even I-would-have-wished myself to-choose
τέσσαρες, αὐτὰρ ἐγὼ πέμπτος μετὰ τοῖσιν ἐλέγμην.
four but I fifth among them was-counted
ἑσπέριος δ' ἦλθεν καλλίτριχα μῆλα νομεύων.
in-the-evening and he-came fair-fleeced flocks herding
αὐτίκα δ' εἰς εὐρὺ σπέος ἤλασε πίονα μῆλα
at-once and into wide cave drove the-fat flocks
πάντα μάλ', οὐδέ τι λεῖπε βαθείης ἔκτοθεν αὐλῆς,
all very nor at-all did-he-leave of-the-deep outside court
ἤ τι ὀισάμενος, ἢ καὶ θεὸς ὣς ἐκέλευσεν.
either at-all suspecting or also a-god so bade
αὐτὰρ ἔπειτ' ἐπέθηκε θυρεὸν μέγαν ὑψόσ' ἀείρας,
but then he-put-on a-door-stone great on-high lifting(-it)
ἑζόμενος δ' ἤμελγεν ὄις καὶ μηκάδας αἶγας,
sitting and he-milked ewes and bleating goats
πάντα κατὰ μοῖραν, καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστῃ.
all according-to due and under young he-put to-each
αὐτὰρ ἐπεὶ δὴ σπεῦσε πονησάμενος τὰ ἃ ἔργα,
but when indeed he-hastened having-labored the his works
σὺν δ' ὅ γε δὴ αὖτε δύω μάρψας ὡπλίσσατο δόρπον.
together and he indeed indeed again two seizing prepared supper
καὶ τότ' ἐγὼ Κύκλωπα προσηύδων ἄγχι παραστάς,
and then I the-Cyclops addressed near standing-by
κισσύβιον μετὰ χερσὶν ἔχων μέλανος οἴνοιο·
an-ivy-wood-bowl in hands holding of-black wine

"'Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα,
Cyclops here drink wine since you-have-eaten human flesh
ὄφρ' εἰδῇς οἷόν τι ποτὸν τόδε νηῦς ἐκεκεύθει
so-that you-may-know what-kind-of — drink this the-ship held-hidden
ἡμετέρη. σοὶ δ' αὖ λοιβὴν φέρον, εἴ μ' ἐλεήσας
our to-you and in-turn as-a-libation I-was-bringing(-it) if me pitying
οἴκαδε πέμψειας· σὺ δὲ μαίνεαι οὐκέτ' ἀνεκτῶς.
homeward you-would-send(-me) you but rage no-longer bearably
σχέτλιε, πῶς κέν τίς σε καὶ ὕστερον ἄλλος ἵκοιτο
cruel how — any you also afterward another could-come
ἀνθρώπων πολέων, ἐπεὶ οὐ κατὰ μοῖραν ἔρεξας;'
of-men many since not according-to due you-have-acted
"Ὣς ἐφάμην, ὁ δ' ἔδεκτο καὶ ἔκπιεν· ἥσατο δ' αἰνῶς
So I-spoke he and took(-it) and drank-up was-delighted and terribly
ἡδὺ ποτὸν πίνων καὶ μ' ἤτεε δεύτερον αὖτις·
sweet drink drinking and me asked a-second-time again
"'Δός μοι ἔτι πρόφρων, καί μοι τεὸν οὔνομα εἰπὲ
Give to-me more kindly and to-me your name tell
αὐτίκα νῦν, ἵνα τοι δῶ ξείνιον, ᾧ κε σὺ χαίρῃς·
at-once now so-that to-you I-may-give a-guest-gift with-which — you may-rejoice
καὶ γὰρ Κυκλώπεσσι φέρει ζείδωρος ἄρουρα
and for to-the-Cyclopes bears grain-giving earth
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει·
wine of-rich-clusters and for-them of-Zeus rain makes-grow
ἀλλὰ τόδ' ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.'
but this of-ambrosia and of-nectar is an-outflow
"Ὣς φάτ', ἀτάρ οἱ αὖτις ἐγὼ πόρον αἴθοπα οἶνον.
So he-spoke but to-him again I gave sparkling wine
τρὶς μὲν ἔδωκα φέρων, τρὶς δ' ἔκπιεν ἀφραδίῃσιν.
thrice indeed I-gave bringing(-it) thrice and he-drank-up in-folly

αὐτὰρ ἐπεὶ Κύκλωπα περὶ φρένας ἦλυθεν οἶνος,
but when the-Cyclops around wits had-come the-wine
καὶ τότε δή μιν ἔπεσσι προσηύδων μειλιχίοισι·
and then indeed him with-words I-addressed honeyed
"'Κύκλωψ, εἰρωτᾷς μ' ὄνομα κλυτόν, αὐτὰρ ἐγώ τοι
Cyclops you-ask me the-name famous but I to-you
ἐξερέω· σὺ δέ μοι δὸς ξείνιον, ὥς περ ὑπέστης.
will-tell you and to-me give a-guest-gift as indeed you-promised
Οὖτις ἐμοί γ' ὄνομα· Οὖτιν δέ με κικλήσκουσι
Noman to-me indeed is-the-name Noman and me call
μήτηρ ἠδὲ πατὴρ ἠδ' ἄλλοι πάντες ἑταῖροι.'
mother and father and others all comrades
" Ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμείβετο νηλέι θυμῷ·
So I-spoke he and me at-once answered with-pitiless heart
'Οὖτιν ἐγὼ πύματον ἔδομαι μετὰ οἷς ἑτάροισιν,
Noman I last will-eat among his-own comrades
τοὺς δ' ἄλλους πρόσθεν· τὸ δέ τοι ξεινήιον ἔσται.'
the and others before this and to-you guest-gift will-be
" Ἦ καὶ ἀνακλινθεὶς πέσεν ὕπτιος, αὐτὰρ ἔπειτα
He-spoke and reclining fell on-his-back but then
κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν ὕπνος
he-lay bending-aside thick neck down and him sleep
ᾕρει πανδαμάτωρ· φάρυγος δ' ἐξέσσυτο οἶνος
seized all-subduing from-the-gullet and gushed-forth wine
ψωμοί τ' ἀνδρόμεοι· ὁ δ' ἐρεύγετο οἰνοβαρείων.
morsels and human he and belched heavy-with-wine
καὶ τότ' ἐγὼ τὸν μοχλὸν ὑπὸ σποδοῦ ἤλασα πολλῆς,
and then I the bar under the-ashes thrust deep

ἦος θερμαίνοιτο· ἔπεσσι δὲ πάντας ἑταίρους
until it-should-grow-hot with-words and all the-comrades
θάρσυνον, μή τίς μοι ὑποδείσας ἀναδύῃ.
I-encouraged lest any for-me in-fear should-shrink-back
ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ὁ μοχλὸς ἐλάινος ἐν πυρὶ μέλλεν
but when indeed soon the bar of-olive in fire was-about
ἅψεσθαι, χλωρός περ ἐών, διεφαίνετο δ᾽ αἰνῶς,
to-catch green though being it-glowed and terribly
καὶ τότ᾽ ἐγὼν ἆσσον φέρον ἐκ πυρός, ἀμφὶ δ᾽ ἑταῖροι 380
and then I nearer carried(-it) from the-fire around and comrades
ἵσταντ᾽· αὐτὰρ θάρσος ἐνέπνευσεν μέγα δαίμων.
stood but courage breathed-in great a-god
οἱ μὲν μοχλὸν ἑλόντες ἐλάινον, ὀξὺν ἐπ᾽ ἄκρῳ,
they indeed the-bar taking of-olive sharp at the-tip
ὀφθαλμῷ ἐνέρεισαν· ἐγὼ δ᾽ ἐφύπερθεν ἐρεισθεὶς
into-the-eye thrust I and from-above leaning
δίνεον, ὡς ὅτε τις τρυπῷ δόρυ νήιον ἀνὴρ
twirled(-it) as when one bores a-timber ship's a-man
τρυπάνῳ, οἱ δέ τ᾽ ἔνερθεν ὑποσσείουσιν ἱμάντι 385
with-a-drill they and — below swing(-it) with-a-strap
ἁψάμενοι ἑκάτερθε, τὸ δὲ τρέχει ἐμμενὲς αἰεί.
taking-hold on-either-side it and runs continually always
ὣς τοῦ ἐν ὀφθαλμῷ πυριήκεα μοχλὸν ἑλόντες
so of-him in the-eye the-fire-pointed bar taking
δινέομεν, τὸν δ᾽ αἷμα περίρρεε θερμὸν ἐόντα.
we-twirled it and blood flowed-around hot being
πάντα δέ οἱ βλέφαρ᾽ ἀμφὶ καὶ ὀφρύας εὖσεν ἀυτμὴ
all and his eyelids around and brows singed the-blast
γλήνης καιομένης, σφαραγεῦντο δέ οἱ πυρὶ ῥίζαι. 390
of-the-eyeball burning crackled and his in-the-fire the-roots

ὡς δ᾽ ὅτ᾽ ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν ἠὲ σκέπαρνον
as and when a-man smith an-ax great or an-adze
εἰν ὕδατι ψυχρῷ βάπτῃ μεγάλα ἰάχοντα
in water cold dips loudly hissing
φαρμάσσων· τὸ γὰρ αὖτε σιδήρου γε κράτος ἐστίν·
tempering(-it) this for in-turn of-iron indeed the-strength is
ὣς τοῦ σίζ᾽ ὀφθαλμὸς ἐλαϊνέῳ περὶ μοχλῷ.
so of-him hissed the-eye olive around bar
σμερδαλέον δὲ μέγ᾽ ὤμωξεν, περὶ δ᾽ ἴαχε πέτρη,
terribly and greatly he-wailed around and rang the-rock
ἡμεῖς δὲ δείσαντες ἀπεσσύμεθ᾽· αὐτὰρ ὁ μοχλὸν
we and fearing rushed-back but he the-bar
ἐξέρυσ᾽ ὀφθαλμοῖο πεφυρμένον αἵματι πολλῷ.
drew-out from-the-eye smeared with-blood much
τὸν μὲν ἔπειτ᾽ ἔρριψεν ἀπὸ ἕο χερσὶν ἀλύων,
it indeed then he-hurled from himself with-hands raving
αὐτὰρ ὁ Κύκλωπας μεγάλ᾽ ἤπυεν, οἵ ῥά μιν ἀμφὶς
but he to-the-Cyclopes loudly called who then him around
ᾤκεον ἐν σπήεσσι δι᾽ ἄκριας ἠνεμοέσσας.
dwelt in caves along heights windy
οἱ δὲ βοῆς ἀίοντες ἐφοίτων ἄλλοθεν ἄλλος,
they and the-cry hearing came-thronging from-elsewhere other
ἱστάμενοι δ᾽ εἴροντο περὶ σπέος ὅττι ἑ κήδοι·
standing and they-asked around the-cave what him troubled

The other Cyclopes asked who was harming him; when he cried that Noman was killing him, they told him to pray to his father Poseidon and went away. Odysseus tied his men under rams three abreast and himself clung beneath the great ram. In the morning the blinded Cyclops felt the animals' backs and spoke to the ram, wishing it could tell him where Noman hid. Once outside, they drove the flocks to the ship.

"'Τίπτε τόσον, Πολύφημ', ἀρημένος ὧδ' ἐβόησας
Why so-much Polyphemus distressed thus did-you-shout
νύκτα δι' ἀμβροσίην καὶ ἀύπνους ἄμμε τίθησθα;
night through immortal and sleepless us you-make
ἦ μή τίς σευ μῆλα βροτῶν ἀέκοντος ἐλαύνει;
surely not any your flocks of-mortals unwilling drives-off
ἦ μή τίς σ' αὐτὸν κτείνει δόλῳ ἠὲ βίηφιν;'
surely not any you yourself kills by-guile or by-force
"Τοὺς δ' αὖτ' ἐξ ἄντρου προσέφη κρατερὸς Πολύφημος·
Them and in-turn from the-cave addressed mighty Polyphemus
'Ὦ φίλοι, Οὖτίς με κτείνει δόλῳ οὐδὲ βίηφιν.'
O friends Noman me kills by-guile nor by-force
"Οἱ δ' ἀπαμειβόμενοι ἔπεα πτερόεντ' ἀγόρευον·
They and answering words winged spoke
'Εἰ μὲν δὴ μή τίς σε βιάζεται οἷον ἐόντα,
If indeed truly not any you does-violence alone being
νοῦσόν γ' οὔ πως ἔστι Διὸς μεγάλου ἀλέασθαι,
sickness indeed not in-any-way is-it-possible of-Zeus great to-avoid
ἀλλὰ σύ γ' εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι.'
but you indeed pray to-father Poseidon lord

" Ὣς ἄρ᾽ ἔφαν ἀπιόντες, ἐμὸν δ᾽ ἐγέλασσε φίλον κῆρ,
So then they-spoke going-away my and laughed dear heart
ὡς ὄνομ᾽ ἐξαπάτησεν ἐμὸν καὶ μῆτις ἀμύμων.
how the-name deceived(-them) my and wit blameless
Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσι
the-Cyclops and groaning both and travailing with-pains
χερσὶ ψηλαφόων ἀπὸ μὲν λίθον εἵλε θυράων,
with-hands groping from indeed the-stone took from-the-doors
αὐτὸς δ᾽ εἰνὶ θύρῃσι καθέζετο χεῖρε πετάσσας,
himself and in the-doorway sat hands spreading
εἴ τινά που μετ᾽ ὄεσσι λάβοι στείχοντα θύραζε·
if any somehow among the-sheep he-might-catch going outdoors
οὕτω γάρ πού μ᾽ ἤλπετ᾽ ἐνὶ φρεσὶ νήπιον εἶναι.
so for somehow me he-thought in mind foolish to-be
αὐτὰρ ἐγὼ βούλευον, ὅπως ὄχ᾽ ἄριστα γένοιτο,
but I planned how by-far best it-might-be
εἴ τιν᾽ ἑταίροισιν θανάτου λύσιν ἠδ᾽ ἐμοὶ αὐτῷ
if any for-comrades of-death release and for-me myself
εὑροίμην· πάντας δὲ δόλους καὶ μῆτιν ὕφαινον
I-might-find all and wiles and counsel I-wove
ὥς τε περὶ ψυχῆς· μέγα γὰρ κακὸν ἐγγύθεν ἦεν.
as — for life great for evil near was
ἥδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή.
this and to-me in heart best appeared the-plan
ἄρσενες ὄιες ἦσαν ἐυτρεφέες, δασύμαλλοι,
male sheep were well-fed thick-fleeced
καλοί τε μεγάλοι τε, ἰοδνεφὲς εἶρος ἔχοντες·
fair both great and violet-dark wool having
τοὺς ἀκέων συνέεργον ἐυστρεφέεσσι λύγοισιν,
these silently I-bound-together well-twisted with-withies

τῆς ἔπι Κύκλωψ εὖδε πέλωρ, ἀθεμίστια εἰδώς,
which on the-Cyclops slept the-monster lawless-things knowing
σύντρεις αἰνύμενος· ὁ μὲν ἐν μέσῳ ἄνδρα φέρεσκε,
three-together taking the-one indeed in the-middle a-man carried
τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην σώοντες ἑταίρους.
the-two and others on-either-side went saving the-comrades
τρεῖς δὲ ἕκαστον φῶτ' ὄιες φέρον· αὐτὰρ ἐγώ γε —
three and each man sheep carried but I indeed
ἀρνειὸς γὰρ ἔην μήλων ὄχ' ἄριστος ἁπάντων,
a-ram for there-was of-the-flocks by-far best of-all
τοῦ κατὰ νῶτα λαβών, λασίην ὑπὸ γαστέρ' ἐλυσθεὶς
him by the-back grasping shaggy under the-belly curled
κείμην· αὐτὰρ χερσὶν ἀώτου θεσπεσίοιο
lay but with-hands of-the-fleece wondrous
νωλεμέως στρεφθεὶς ἐχόμην τετληότι θυμῷ.
unceasingly twisted I-held-on with-enduring heart
ὣς τότε μὲν στενάχοντες ἐμείναμεν Ἠῶ δῖαν.
so then indeed groaning we-awaited Dawn bright
" Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
καὶ τότ' ἔπειτα νομόνδ' ἐξέσσυτο ἄρσενα μῆλα,
and then then to-the-pasture rushed-out the-male flocks
θήλειαι δὲ μέμηκον ἀνήμελκτοι περὶ σηκούς·
the-females and bleated unmilked around the-pens
οὔθατα γὰρ σφαραγεῦντο. ἄναξ δ' ὀδύνῃσι κακῇσι
udders for were-bursting the-lord and by-pains evil
τειρόμενος πάντων ὀίων ἐπεμαίετο νῶτα
being-worn of-all sheep felt the-backs
ὀρθῶν ἑσταότων· τὸ δὲ νήπιος οὐκ ἐνόησεν,
upright standing this and foolish not noticed

ὥς οἱ ὑπ᾽ εἰροπόκων ὀίων στέρνοισι δέδεντο.
how to-him under woolly sheep's chests they-were-bound
ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε
last the-ram of-the-flocks went outdoors
λάχνῳ στεινόμενος καὶ ἐμοὶ πυκινὰ φρονέοντι.
with-wool weighed-down and with-me shrewd-things thinking
τὸν δ᾽ ἐπιμασσάμενος προσέφη κρατερὸς Πολύφημος·
him and feeling addressed mighty Polyphemus
"'Κριὲ πέπον, τί μοι ὧδε διὰ σπέος ἔσσυο μήλων
Ram dear why for-me thus through the-cave did-you-rush of-the-flocks
ὕστατος; οὔ τι πάρος γε λελειμμένος ἔρχεαι οἰῶν,
last not at-all before indeed left-behind you-go of-the-sheep
ἀλλὰ πολὺ πρῶτος νέμεαι τέρεν᾽ ἄνθεα ποίης
but by-far first you-crop the-tender flowers of-the-grass
μακρὰ βιβάς, πρῶτος δὲ ῥοὰς ποταμῶν ἀφικάνεις,
long striding first and the-streams of-the-rivers you-reach
πρῶτος δὲ σταθμόνδε λιλαίεαι ἀπονέεσθαι
first and to-the-fold you-long to-return
ἑσπέριος· νῦν αὖτε πανύστατος. ἦ σύ γ᾽ ἄνακτος
in-the-evening now in-turn last-of-all truly you indeed of-the-lord
ὀφθαλμὸν ποθέεις, τὸν ἀνὴρ κακὸς ἐξαλάωσε
the-eye you-miss which a-man base blinded
σὺν λυγροῖς ἑτάροισι δαμασσάμενος φρένας οἴνῳ,
with woeful comrades having-overpowered mind with-wine
Οὖτις, ὃν οὔ πώ φημι πεφυγμένον εἶναι ὄλεθρον.
Noman who not yet I-say having-escaped to-be destruction
εἰ δὴ ὁμοφρονέοις ποτιφωνήεις τε γένοιο
if indeed you-were-like-minded gifted-with-speech and you-might-become
εἰπεῖν ὅππῃ κεῖνος ἐμὸν μένος ἠλασκάζει·
to-tell where he my strength shuns

τῷ κέ οἱ ἐγκέφαλός γε διὰ σπέος ἄλλυδις ἄλλῃ
then — his brain indeed through the-cave this-way that-way
θεινομένου ῥαίοιτο πρὸς οὔδεϊ, κἀδ δέ κ' ἐμὸν κῆρ
being-struck would-be-dashed on the-ground down and — my heart
λωφήσειε κακῶν, τά μοι οὐτιδανὸς πόρεν Οὖτις.' 460
would-be-relieved of-evils which to-me worthless gave Noman
" Ὣς εἰπὼν τὸν κριὸν ἀπὸ ἕο πέμπε θύραζε.
So having-spoken the ram from himself he-sent outdoors
ἐλθόντες δ' ἠβαιὸν ἀπὸ σπείους τε καὶ αὐλῆς
coming and a-little from the-cave both and the-court
πρῶτος ὑπ' ἀρνειοῦ λυόμην, ὑπέλυσα δ' ἑταίρους.
first from-under the-ram I-loosed-myself loosed and the-comrades
καρπαλίμως δὲ τὰ μῆλα ταναύποδα, πίονα δημῷ,
swiftly and the flocks long-shanked fat with-fat
πολλὰ περιτροπέοντες ἐλαύνομεν, ὄφρ' ἐπὶ νῆα 465
much turning-about we-drove until to the-ship
ἱκόμεθ'. ἀσπάσιοι δὲ φίλοις ἑτάροισι φάνημεν,
we-came welcome and to-dear comrades we-appeared
οἳ φύγομεν θάνατον, τοὺς δὲ στενάχοντο γοῶντες.
we-who escaped death them and they-mourned wailing
ἀλλ' ἐγὼ οὐκ εἴων, ἀνὰ δ' ὀφρύσι νεῦον ἑκάστῳ,
but I not let(-them) up and with-brows I-nodded to-each
κλαίειν, ἀλλ' ἐκέλευσα θοῶς καλλίτριχα μῆλα
to-weep but bade swiftly fair-fleeced flocks
πόλλ' ἐν νηὶ βαλόντας ἐπιπλεῖν ἁλμυρὸν ὕδωρ. 470
many into the-ship throwing to-sail-over the-salt water
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
they and at-once embarked and on benches sat
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
in-a-row and sitting the-gray sea smote with-oars

ἀλλ᾽ ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
but when so-far I-was-off as-far-as — one-makes-heard shouting
καὶ τότ᾽ ἐγὼ Κύκλωπα προσηύδων κερτομίοισι·
and then I the-Cyclops addressed with-mocking(-words)

IX.7 · POLYPHEMUS' CURSE

From the ship Odysseus taunted the Cyclops, who hurled a mountain peak that nearly drove the ship back to shore. Ignoring his men's pleas, Odysseus shouted his true name. Polyphemus remembered a prophecy of this, and prayed to Poseidon that Odysseus should reach home late and in misery, on another's ship, having lost all his comrades, to find troubles in his house. A second rock pushed them to the island, where they divided the flocks; Zeus did not accept the sacrifice of the ram.

"Κύκλωψ, οὐκ ἄρ᾽ ἔμελλες ἀνάλκιδος ἀνδρὸς ἑταίρους
Cyclops not then were-you-to of-a-coward man the-comrades
ἔδμεναι ἐν σπῆι γλαφυρῷ κρατερῇφι βίηφι.
to-eat in cave hollow with-mighty force
καὶ λίην σέ γ᾽ ἔμελλε κιχήσεσθαι κακὰ ἔργα,
yes surely you indeed was-to overtake evil deeds
σχέτλι᾽, ἐπεὶ ξείνους οὐχ ἄζεο σῷ ἐνὶ οἴκῳ
cruel since strangers not you-shrank-from your in house
ἐσθέμεναι· τῷ σε Ζεὺς τίσατο καὶ θεοὶ ἄλλοι.'
to-eat therefore you Zeus has-punished and gods other
" Ὣς ἐφάμην, ὁ δ᾽ ἔπειτα χολώσατο κηρόθι μᾶλλον,
So I-spoke he and then was-angered in-heart more
ἦκε δ᾽ ἀπορρήξας κορυφὴν ὄρεος μεγάλοιο,
he-hurled and having-broken-off the-peak of-a-mountain great
κὰδ δ᾽ ἔβαλε προπάροιθε νεὸς κυανοπρώροιο.
down and threw(-it) in-front of-the-ship dark-prowed

ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης·
was-dashed-up and the-sea descending under rock
τὴν δ' αἶψ' ἤπειρόνδε παλιρρόθιον φέρε κῦμα,
her and quickly to-the-land the-backwash bore wave
πλημυρὶς ἐκ πόντοιο, θέμωσε δὲ χέρσον ἱκέσθαι.
a-flood-tide from the-sea drove(-her) and the-dry-land to-reach
αὐτὰρ ἐγὼ χείρεσσι λαβὼν περιμήκεα κοντὸν
but I in-hands taking very-long pole
ὦσα παρέξ, ἑτάροισι δ' ἐποτρύνας ἐκέλευσα
pushed(-her) out-along to-the-comrades and urging bade
ἐμβαλέειν κώπῃς, ἵν' ὑπὲκ κακότητα φύγοιμεν,
to-throw-themselves-on the-oars so-that out-of the-evil we-might-flee
κρατὶ κατανεύων· οἱ δὲ προπεσόντες ἔρεσσον.
with-head nodding they and bending-forward rowed
ἀλλ' ὅτε δὴ δὶς τόσσον ἄλα πρήσσοντες ἀπῆμεν,
but when indeed twice so-far the-sea crossing we-were-away
καὶ τότε δὴ Κύκλωπα προσηύδων· ἀμφὶ δ' ἑταῖροι
and then indeed the-Cyclops I-addressed around and comrades
μειλιχίοις ἐπέεσσιν ἐρήτυον ἄλλοθεν ἄλλος·
with-honeyed words restrained(-me) from-elsewhere other
"'Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα;
Cruel why do-you-wish to-provoke savage man
ὃς καὶ νῦν πόντονδε βαλὼν βέλος ἤγαγε νῆα
who even now to-the-sea throwing a-missile brought the-ship
αὖτις ἐς ἤπειρον, καὶ δὴ φάμεν αὐτόθ' ὀλέσθαι.
back to the-land and indeed we-thought there to-perish
εἰ δὲ φθεγξαμένου τευ ἢ αὐδήσαντος ἄκουσε,
if and speaking anyone or uttering he-had-heard

σύν κεν ἄραξ' ἡμέων κεφαλὰς καὶ νήια δοῦρα
together — he-would-have-smashed our heads and ship's timbers
μαρμάρῳ ὀκριόεντι βαλών· τόσσον γὰρ ἵησιν.'
with-a-rock jagged hurling so-far for he-throws
" Ὣς φάσαν, ἀλλ' οὐ πεῖθον ἐμὸν μεγαλήτορα θυμόν,
So they-spoke but not they-persuaded my great-hearted heart
ἀλλά μιν ἄψορρον προσέφην κεκοτηότι θυμῷ·
but him in-return I-addressed with-angered heart
"'Κύκλωψ, αἴ κέν τίς σε καταθνητῶν ἀνθρώπων
Cyclops if — anyone you of-mortal men
ὀφθαλμοῦ εἴρηται ἀεικελίην ἀλαωτύν,
of-the-eye asks-about the-unseemly blinding
φάσθαι Ὀδυσσῆα πτολιπόρθιον ἐξαλαῶσαι,
say Odysseus sacker-of-cities to-have-blinded(-it)
υἱὸν Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκί' ἔχοντα.'
the-son of-Laertes Ithaca in house having
" Ὣς ἐφάμην, ὁ δέ μ' οἰμώξας ἠμείβετο μύθῳ·
So I-spoke he and me groaning answered with-word
' Ὤ πόποι, ἦ μάλα δή με παλαίφατα θέσφαθ' ἱκάνει.
Oh for-shame truly very indeed me old-spoken prophecies come-upon
ἔσκε τις ἐνθάδε μάντις ἀνὴρ ἠύς τε μέγας τε,
was a-certain here a-seer man good both great and
Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο
Telemus son-of-Eurymus who in-prophecy excelled
καὶ μαντευόμενος κατεγήρα Κυκλώπεσσιν·
and prophesying grew-old among-the-Cyclopes
ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω,
who to-me said these-things all to-be-accomplished hereafter
χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς.
the-hands at Odysseus I-should-lose sight

ἀλλ᾽ αἰεί τινα φῶτα μέγαν καὶ καλὸν ἐδέγμην
but always some man great and fair I-expected
ἐνθάδ᾽ ἐλεύσεσθαι, μεγάλην ἐπιειμένον ἀλκήν·
here to-come great clothed-in strength
νῦν δέ μ᾽ ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἄκικυς
now but me being little both and worthless and feeble
ὀφθαλμοῦ ἀλάωσεν, ἐπεί μ᾽ ἐδαμάσσατο οἴνῳ.
of-the-eye blinded since me he-overpowered with-wine
ἀλλ᾽ ἄγε δεῦρ᾽, Ὀδυσεῦ, ἵνα τοι πὰρ ξείνια θείω
but come hither Odysseus so-that for-you beside gifts-of-guests I-may-set
πομπήν τ᾽ ὀτρύνω δόμεναι κλυτὸν ἐννοσίγαιον·
escort and I-may-urge to-give the-famous earth-shaker
τοῦ γὰρ ἐγὼ πάις εἰμί, πατὴρ δ᾽ ἐμὸς εὔχεται εἶναι.
his for I son am father and my declares-himself to-be
αὐτὸς δ᾽, αἴ κ᾽ ἐθέλῃσ᾽, ἰήσεται, οὐδέ τις ἄλλος
himself and if — he-wishes will-heal nor any other
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.᾽
neither of-gods blessed nor of-mortal men
“ Ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
Αἴ γὰρ δὴ ψυχῆς τε καὶ αἰῶνός σε δυναίμην
If-only for indeed of-soul both and of-life you I-could
εὖνιν ποιήσας πέμψαι δόμον Ἄιδος εἴσω,
bereft having-made send the-house of-Hades into
ὡς οὐκ ὀφθαλμόν γ᾽ ἰήσεται οὐδ᾽ ἐνοσίχθων.᾽
as not the-eye indeed will-heal not-even the-earth-shaker
“ Ὣς ἐφάμην, ὁ δ᾽ ἔπειτα Ποσειδάωνι ἄνακτι
So I-spoke he and then to-Poseidon lord
εὔχετο χεῖρ᾽ ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
prayed hand stretching to heaven starry

‘Κλῦθι, Ποσείδαον γαιήοχε κυανοχαῖτα,
Hear Poseidon earth-holder dark-haired
εἰ ἐτεόν γε σός εἰμι, πατὴρ δ’ ἐμὸς εὔχεαι εἶναι,
if truly indeed yours I-am father and my you-declare-yourself to-be
δὸς μὴ Ὀδυσσῆα πτολιπόρθιον οἶκαδ’ ἱκέσθαι
grant not Odysseus sacker-of-cities home to-reach
υἱὸν Λαέρτεω, Ἰθάκῃ ἔνι οἰκί’ ἔχοντα.
the-son of-Laertes Ithaca in house having
ἀλλ’ εἴ οἱ μοῖρ’ ἐστὶ φίλους τ’ ἰδέειν καὶ ἱκέσθαι
but if for-him fate is friends both to-see and to-reach
οἶκον ἐυκτίμενον καὶ ἑὴν ἐς πατρίδα γαῖαν,
house well-built and his-own to native land
ὀψὲ κακῶς ἔλθοι, ὀλέσας ἄπο πάντας ἑταίρους,
late evilly may-he-come having-lost away all comrades
νηὸς ἐπ’ ἀλλοτρίης, εὕροι δ’ ἐν πήματα οἴκῳ.’
ship on another’s may-he-find and in sorrows the-house
“ Ὣς ἔφατ’ εὐχόμενος, τοῦ δ’ ἔκλυε κυανοχαίτης.
So he-spoke praying him and heard the-dark-haired-one
αὐτὰρ ὅ γ’ ἐξαῦτις πολὺ μείζονα λᾶαν ἀείρας
but he indeed again much greater stone lifting
ἧκ’ ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν’ ἀπέλεθρον,
hurled whirling(-it) put and strength immeasurable
κὰδ’ δ’ ἔβαλεν μετόπισθε νεὸς κυανοπρώροιο
down and threw(-it) behind of-the-ship dark-prowed
τυτθόν, ἐδεύησεν δ’ οἰήιον ἄκρον ἱκέσθαι.
a-little it-fell-short and of-the-steering-oar the-tip to-reach
ἐκλύσθη δὲ θάλασσα κατερχομένης ὑπὸ πέτρης·
was-dashed-up and the-sea descending under rock
τὴν δὲ πρόσω φέρε κῦμα, θέμωσε δὲ χέρσον ἱκέσθαι.
her and forward bore the-wave drove(-her) and the-dry-land to-reach

" Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἀφικόμεθ', ἔνθα περ ἄλλαι
But when indeed the island we-reached where indeed the-other
νῆες ἐύσσελμοι μένον ἀθρόαι, ἀμφὶ δ' ἑταῖροι
ships well-benched waited together around and comrades
ἥατ' ὀδυρόμενοι, ἡμέας ποτιδέγμενοι αἰεί,
sat lamenting us awaiting always
νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
the-ship indeed there coming we-beached in the-sands
ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
out and also ourselves went on the-breakers of-the-sea
μῆλα δὲ Κύκλωπος γλαφυρῆς ἐκ νηὸς ἑλόντες
the-flocks and of-the-Cyclops hollow from ship taking
δασσάμεθ', ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.
we-divided so-that not any for-me cheated might-go of-equal-share
ἀρνειὸν δ' ἐμοὶ οἴῳ ἐυκνήμιδες ἑταῖροι
the-ram and to-me alone well-greaved comrades
μήλων δαιομένων δόσαν ἔξοχα· τὸν δ' ἐπὶ θινὶ
the-flocks being-divided gave as-a-special-prize him and on the-shore
Ζηνὶ κελαινεφέι Κρονίδῃ, ὃς πᾶσιν ἀνάσσει,
to-Zeus dark-clouded son-of-Cronus who over-all rules
ῥέξας μηρί' ἔκαιον· ὁ δ' οὐκ ἐμπάζετο ἱρῶν,
having-sacrificed thighs I-burned he and not heeded the-sacrifices
ἀλλ' ὅ γε μερμήριζεν ὅπως ἀπολοίατο πᾶσαι
but he indeed pondered how might-perish all
νῆες ἐύσσελμοι καὶ ἐμοὶ ἑρίηρες ἑταῖροι.
ships well-benched and my trusty comrades
" Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
So then indeed all day to sun setting
ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
we-sat feasting meats both boundless and wine sweet

ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
when and the-sun set and on darkness came
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
indeed then we-slept on the-breakers of-the-sea
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
when and early-born appeared rosy-fingered Dawn
δὴ τότ' ἐγὼν ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
indeed then I to-the-comrades urging bade
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι·
themselves and to-embark up and the-stern-cables to-loose
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον,
they and at-once embarked and on benches sat
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
in-a-row and sitting the-gray sea smote with-oars
" Ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
Thence and further we-sailed grieved at-heart
ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
glad from death dear having-lost comrades

BOOK X

X.1 · THE BAG OF WINDS

They came to the floating island of Aeolus, keeper of the winds, who entertained them for a month. He gave Odysseus an oxhide bag holding all the winds but the west wind, which he sent to carry them home. On the tenth day, within sight of his native land, Odysseus fell asleep, and his men, thinking the bag held gold, opened it. The winds blew them back to Aeolus, who drove Odysseus away as a man hated by the gods.

"Αἰολίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιεν
Aeolian and to island we-came there and dwelt
Αἴολος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσιν,
Aeolus son-of-Hippotas dear to-immortal gods
πλωτῇ ἐνὶ νήσῳ· πᾶσαν δέ τέ μιν πέρι τεῖχος
floating on island all and — it around a-wall
χάλκεον ἄρρηκτον, λισσὴ δ' ἀναδέδρομε πέτρη.
of-bronze unbreakable smooth and runs-up the-rock
τοῦ καὶ δώδεκα παῖδες ἐνὶ μεγάροις γεγάασιν,
his and twelve children in the-halls are-born
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες·
six indeed daughters six and sons in-youthful-prime
ἔνθ' ὅ γε θυγατέρας πόρεν υἱάσιν εἶναι ἀκοίτις.
there he indeed the-daughters gave to-the-sons to-be wives
οἱ δ' αἰεὶ παρὰ πατρὶ φίλῳ καὶ μητέρι κεδνῇ
they and always beside father dear and mother trusty
δαίνυνται, παρὰ δέ σφιν ὀνείατα μυρία κεῖται,
feast beside and them dainties countless lie

κνισῆεν δέ τε δῶμα περιστεναχίζεται αὐλῇ
savory and — the-house resounds-around in-the-court
ἤματα· νύκτας δ' αὖτε παρ' αἰδοίης ἀλόχοισιν
by-days by-nights and in-turn beside revered wives
εὕδουσ' ἔν τε τάπησι καὶ ἐν τρητοῖσι λέχεσσι.
sleep on both rugs and on corded bedsteads
καὶ μὲν τῶν ἱκόμεσθα πόλιν καὶ δώματα καλά.
and indeed of-them we-reached the-city and house fair
μῆνα δὲ πάντα φίλει με καὶ ἐξερέεινεν ἕκαστα,
a-month and whole he-entertained me and asked each-thing
Ἴλιον Ἀργείων τε νέας καὶ νόστον Ἀχαιῶν·
Ilion of-the-Argives and ships and the-return of-the-Achaeans
καὶ μὲν ἐγὼ τῷ πάντα κατὰ μοῖραν κατέλεξα.
and indeed I to-him all according-to due recounted
ἀλλ' ὅτε δὴ καὶ ἐγὼν ὁδὸν ᾔτεον ἠδ' ἐκέλευον
but when indeed also I a-way asked and bade(-him)
πεμπέμεν, οὐδέ τι κεῖνος ἀνήνατο, τεῦχε δὲ πομπήν.
to-send(-me) nor at-all he refused made and escort
δῶκε δέ μ' ἐκδείρας ἀσκὸν βοὸς ἐννεώροιο,
he-gave and to-me having-flayed a-skin of-an-ox nine-years-old
ἔνθα δὲ βυκτάων ἀνέμων κατέδησε κέλευθα·
in-which and of-blustering winds he-bound the-paths
κεῖνον γὰρ ταμίην ἀνέμων ποίησε Κρονίων,
him for steward of-winds made the-son-of-Cronus
ἠμὲν παυέμεναι ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλῃσι.
both to-calm and to-rouse whichever — he-wishes
νηὶ δ' ἐνὶ γλαφυρῇ κατέδει μέρμιθι φαεινῇ
ship and in hollow he-bound(-it) with-a-cord shining
ἀργυρέῃ, ἵνα μή τι παραπνεύσῃ ὀλίγον περ·
silver so-that not at-all might-blow-past little indeed

αὐτὰρ ἐμοὶ πνοιὴν Ζεφύρου προέηκεν ἀῆναι,
but for-me the-breath of-Zephyr he-sent-forth to-blow
ὄφρα φέροι νῆάς τε καὶ αὐτούς· οὐδ' ἄρ' ἔμελλεν
so-that it-might-bear ships both and ourselves nor then was-he-to
ἐκτελέειν· αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν.
accomplish(-it) our-own for we-perished by-folly
" Ἐννῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ,
For-nine-days indeed alike we-sailed nights both and day
τῇ δεκάτῃ δ' ἤδη ἀνεφαίνετο πατρὶς ἄρουρα,
on-the tenth and already appeared native field
καὶ δὴ πυρπολέοντας ἐλεύσσομεν ἐγγὺς ἐόντες·
and indeed men-tending-fires we-saw near being
ἔνθ' ἐμὲ μὲν γλυκὺς ὕπνος ἐπήλυθε κεκμηῶτα,
there me indeed sweet sleep came-upon worn-out
αἰεὶ γὰρ πόδα νηὸς ἐνώμων, οὐδέ τῳ ἄλλῳ
always for the-sheet of-the-ship I-handled nor to-any other
δῶχ' ἑτάρων, ἵνα θᾶσσον ἱκοίμεθα πατρίδα γαῖαν·
I-gave(-it) of-comrades so-that more-quickly we-might-reach native land
οἱ δ' ἔταροι ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
the and comrades with-words to each-other spoke
καί μ' ἔφασαν χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι
and me they-said gold both and silver home to-be-bringing
δῶρα παρ' Αἰόλου μεγαλήτορος Ἱπποτάδαο.
gifts from Aeolus great-hearted son-of-Hippotas
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
thus and one would-say looking at neighboring another
"' Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
Oh for-shame how this-one to-all dear and honored is
ἀνθρώποις, ὅτεών τε πόλιν καὶ γαῖαν ἵκηται.
to-men whose — city and land he-comes-to

πολλὰ μὲν ἐκ Τροίης ἄγεται κειμήλια καλὰ
many indeed from Troy he-brings treasures fair
ληίδος, ἡμεῖς δ' αὖτε ὁμὴν ὁδὸν ἐκτελέσαντες
of-the-spoil we and in-turn the-same way having-accomplished
οἴκαδε νισσόμεθα κενεὰς σὺν χεῖρας ἔχοντες·
home return empty with hands having
καὶ νῦν οἱ τάδ' ἔδωκε χαριζόμενος φιλότητι
and now to-him these-things gave showing-favor in-friendship
Αἴολος. ἀλλ' ἄγε θᾶσσον ἰδώμεθα ὅττι τάδ' ἐστίν,
Aeolus but come quickly let-us-see what these-things are
ὅσσος τις χρυσός τε καὶ ἄργυρος ἀσκῷ ἔνεστιν.'
how-much any gold both and silver in-the-skin is
" Ὣς ἔφασαν, βουλὴ δὲ κακὴ νίκησεν ἑταίρων·
So they-spoke counsel and evil prevailed of-the-comrades
ἀσκὸν μὲν λῦσαν, ἄνεμοι δ' ἐκ πάντες ὄρουσαν.
the-skin indeed they-loosed winds and out all rushed
τοὺς δ' αἶψ' ἁρπάξασα φέρεν πόντονδε θύελλα
them and at-once snatching bore to-the-sea a-storm
κλαίοντας, γαίης ἄπο πατρίδος. αὐτὰρ ἐγώ γε
weeping the-land from native but I indeed
ἐγρόμενος κατὰ θυμὸν ἀμύμονα μερμήριξα,
waking in heart blameless pondered
ἠὲ πεσὼν ἐκ νηὸς ἀποφθίμην ἐνὶ πόντῳ,
whether falling from the-ship I-should-perish in the-sea
ἦ ἀκέων τλαίην καὶ ἔτι ζωοῖσι μετείην.
or silent should-endure and still among-the-living should-be

ἀλλ᾽ ἔτλην καὶ ἔμεινα, καλυψάμενος δ᾽ ἐνὶ νηὶ
but I-endured and stayed covered and in the-ship
κείμην. αἱ δ᾽ ἐφέροντο κακῇ ἀνέμοιο θυέλλῃ
lay they and were-borne by-evil of-wind storm
αὖτις ἐπ᾽ Αἰολίην νῆσον, στενάχοντο δ᾽ ἑταῖροι.
back to Aeolian island groaned and the-comrades
“ Ἔνθα δ᾽ ἐπ᾽ ἠπείρου βῆμεν καὶ ἀφυσσάμεθ᾽ ὕδωρ,
There and on the-mainland we-went and drew water
αἶψα δὲ δεῖπνον ἕλοντο θοῇς παρὰ νηυσὶν ἑταῖροι.
at-once and dinner took swift by ships comrades
αὐτὰρ ἐπεὶ σίτοιό τ᾽ ἐπασσάμεθ᾽ ἠδὲ ποτῆτος,
but when of-bread both we-had-tasted and of-drink
δὴ τότ᾽ ἐγὼ κήρυκά τ᾽ ὀπασσάμενος καὶ ἑταῖρον
indeed then I a-herald both taking-along and a-comrade
βῆν εἰς Αἰόλου κλυτὰ δώματα· τὸν δ᾽ ἐκίχανον
went to of-Aeolus famous house him and found
δαινύμενον παρὰ ἧῇ τ᾽ ἀλόχῳ καὶ οἷσι τέκεσσιν.
feasting beside his-own both wife and his-own children
ἐλθόντες δ᾽ ἐς δῶμα παρὰ σταθμοῖσιν ἐπ᾽ οὐδοῦ
coming and into the-house by the-doorposts on the-threshold
ἑζόμεθ᾽· οἱ δ᾽ ἀνὰ θυμὸν ἐθάμβεον ἔκ τ᾽ ἐρέοντο·
we-sat they and in heart marveled out and asked
“‘Πῶς ἦλθες, Ὀδυσεῦ; τίς τοι κακὸς ἔχραε δαίμων;
How have-you-come Odysseus what you evil assailed god
ἦ μέν σ᾽ ἐνδυκέως ἀπεπέμπομεν, ὄφρ᾽ ἀφίκοιο
surely indeed you carefully we-sent-away so-that you-might-reach
πατρίδα σὴν καὶ δῶμα καὶ εἴ πού τοι φίλον ἐστίν.᾽
country your and house and if anywhere to-you dear it-is

“ Ὣς φάσαν, αὐτὰρ ἐγὼ μετεφώνεον ἀχνύμενος κῆρ·
So they-spoke but I spoke-among(-them) grieving at-heart
‘ Ἄασάν μ’ ἕταροί τε κακοὶ πρὸς τοῖσί τε ὕπνος
They-ruined me comrades both evil besides these and sleep
σχέτλιος. ἀλλ’ ἀκέσασθε, φίλοι· δύναμις γὰρ ἐν ὑμῖν.’
cruel but remedy(-it) friends power for in you
“ Ὣς ἐφάμην μαλακοῖσι καθαπτόμενος ἐπέεσσιν,
So I-spoke soft addressing(-them) with-words
οἱ δ’ ἄνεῳ ἐγένοντο· πατὴρ δ’ ἠμείβετο μύθῳ·
they and silent became the-father and answered with-word
“‘ Ἔρρ’ ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζωόντων·
Begone from the-island quickly most-shameful of-the-living
οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν οὐδ’ ἀποπέμπειν
not for to-me right is to-aid nor to-send-on-his-way
ἄνδρα τόν, ὅς κε θεοῖσιν ἀπέχθηται μακάρεσσιν·
a-man that who — to-the-gods is-hateful blessed
ἔρρε, ἐπεὶ ἄρα θεοῖσιν ἀπεχθόμενος τόδ’ ἱκάνεις.’
begone since then to-the-gods hateful here you-come

After six days' rowing they reached Telepylus, the city of the Laestrygonians. The fleet entered a harbor enclosed by cliffs, but Odysseus moored his ship outside. Three men met the king's daughter at a spring; in the palace they found a queen as large as a mountain, and King Antiphates seized one of them for his dinner. The giants pelted the ships with boulders and speared the men like fish. Odysseus cut his cable, and only his ship escaped.

" Ὣς εἰπὼν ἀπέπεμπε δόμων βαρέα στενάχοντα.
So having-spoken he-sent(-me) from-the-house heavily groaning
ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ.
thence and further we-sailed grieved at-heart
τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς
was-worn and of-the-men the-spirit by rowing grievous
ἡμετέρῃ ματίῃ, ἐπεὶ οὐκέτι φαίνετο πομπή.
by-our folly since no-longer appeared escort
ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ,
for-six-days indeed alike we-sailed nights both and day
ἑβδομάτῃ δ' ἱκόμεσθα Λάμου αἰπὺ πτολίεθρον,
on-the-seventh and we-came of-Lamus to-the-steep citadel
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν
Telepylus of-the-Laestrygonians where shepherd shepherd
ἠπύει εἰσελάων, ὁ δέ τ' ἐξελάων ὑπακούει.
calls driving-in he and — driving-out answers
ἔνθα κ' ἄυπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθούς,
there — a-sleepless man two would-have-earned wages
τὸν μὲν βουκολέων, τὸν δ' ἄργυφα μῆλα νομεύων·
the-one indeed herding-cattle the-other and white sheep pasturing
ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.
near for of-night both and of-day are the-paths

ἔνθ᾽ ἐπεὶ ἐς λιμένα κλυτὸν ἵκόμεθ᾽, ὃν πέρι πέτρη
there when into the-harbor famous we-came which around a-rock
ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν,
sheer has-been-made continuously on-both-sides
ἀκταὶ δὲ προβλῆτες ἐναντίαι ἀλλήλῃσιν
headlands and jutting facing each-other
ἐν στόματι προύχουσιν, ἀραιὴ δ᾽ εἴσοδός ἐστιν,
at the-mouth project narrow and the-entrance is
ἔνθ᾽ οἵ γ᾽ εἴσω πάντες ἔχον νέας ἀμφιελίσσας.
there they indeed inside all held the-ships curved
αἱ μὲν ἄρ᾽ ἔντοσθεν λιμένος κοίλοιο δέδεντο
they indeed then within the-harbor hollow were-moored
πλησίαι· οὐ μὲν γάρ ποτ᾽ ἀέξετο κῦμά γ᾽ ἐν αὐτῷ,
near-together not indeed for ever swelled wave indeed in it
οὔτε μέγ᾽ οὔτ᾽ ὀλίγον, λευκὴ δ᾽ ἦν ἀμφὶ γαλήνη·
neither great nor small white and was around calm
αὐτὰρ ἐγὼν οἶος σχέθον ἔξω νῆα μέλαιναν,
but I alone held outside ship black
αὐτοῦ ἐπ᾽ ἐσχατιῇ, πέτρης ἐκ πείσματα δήσας·
there at the-border of-the-rock from cables binding
ἔστην δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών.
I-stood and a-lookout to rugged having-gone-up
ἔνθα μὲν οὔτε βοῶν οὔτ᾽ ἀνδρῶν φαίνετο ἔργα,
there indeed neither of-oxen nor of-men appeared works
καπνὸν δ᾽ οἷον ὁρῶμεν ἀπὸ χθονὸς ἀίσσοντα.
smoke and alone we-saw from the-ground darting-up
δὴ τότ᾽ ἐγὼν ἑτάρους προΐειν πεύθεσθαι ἰόντας,
indeed then I comrades sent-forth to-learn going
οἵ τινες ἀνέρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
who any men they-might-be on earth bread eating

ἄνδρε δύω κρίνας, τρίτατον κήρυχ' ἅμ' ὀπάσσας.
men two having-chosen a-third a-herald with(-them) sending
οἱ δ' ἴσαν ἐκβάντες λείην ὁδόν, ᾗ περ ἅμαξαι
they and went having-landed a-smooth road where indeed wagons
ἄστυδ' ἀφ' ὑψηλῶν ὀρέων καταγίνεον ὕλην,
to-the-city from lofty mountains brought-down wood
κούρῃ δὲ ξύμβληντο πρὸ ἄστεος ὑδρευούσῃ,
a-girl and they-met before the-city drawing-water
θυγατέρ' ἰφθίμῃ Λαιστρυγόνος Ἀντιφάταο.
the-daughter strong of-the-Laestrygonian Antiphates
ἡ μὲν ἄρ' ἐς κρήνην κατεβήσετο καλλιρέεθρον
she indeed then to the-spring had-gone-down fair-flowing
Ἀρτακίην· ἔνθεν γὰρ ὕδωρ προτὶ ἄστυ φέρεσκον·
Artacia thence for water to the-city they-carried
οἱ δὲ παριστάμενοι προσεφώνεον ἔκ τ' ἐρέοντο
they and standing-beside addressed(-her) out and asked
ὅς τις τῶνδ' εἴη βασιλεὺς καὶ οἷσιν ἀνάσσοι·
who any of-these might-be king and over-whom he-ruled
ἡ δὲ μάλ' αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ.
she and very at-once of-father pointed-out the-high-roofed house
οἱ δ' ἐπεὶ εἰσῆλθον κλυτὰ δώματα, τὴν δὲ γυναῖκα
they and when they-entered the-famous house the and wife
εὗρον, ὅσην τ' ὄρεος κορυφήν, κατὰ δ' ἔστυγον αὐτήν.
found as-huge-as — of-a-mountain the-peak down and they-loathed her
ἡ δ' αἶψ' ἐξ ἀγορῆς ἐκάλει κλυτὸν Ἀντιφατῆα,
she and at-once from the-assembly called famous Antiphates
ὃν πόσιν, ὃς δὴ τοῖσιν ἐμήσατο λυγρὸν ὄλεθρον.
her husband who indeed for-them devised woeful destruction
αὐτίχ' ἕνα μάρψας ἑτάρων ὡπλίσσατο δεῖπνον·
at-once one seizing of-the-comrades he-prepared dinner

τὼ δὲ δύ' ἀίξαντε φυγῇ ἐπὶ νῆας ἱκέσθην.
the and two darting in-flight to the-ships came
αὐτὰρ ὁ τεῦχε βοὴν διὰ ἄστεος· οἱ δ' ἀίοντες
but he made a-cry through the-city they and hearing
φοίτων ἴφθιμοι Λαιστρυγόνες ἄλλοθεν ἄλλος,
came-thronging mighty Laestrygonians from-elsewhere other
μυρίοι, οὐκ ἄνδρεσσιν ἐοικότες, ἀλλὰ Γίγασιν.
countless not to-men like but to-Giants
οἵ ῥ' ἀπὸ πετράων ἀνδραχθέσι χερμαδίοισιν
who then from rocks man-load with-boulders
βάλλον· ἄφαρ δὲ κακὸς κόναβος κατὰ νῆας ὀρώρει
pelted(-us) straightway and evil din throughout the-ships arose
ἀνδρῶν τ' ὀλλυμένων νηῶν θ' ἅμα ἀγνυμενάων·
of-men both perishing of-ships and at-once being-shattered
ἰχθῦς δ' ὣς πείροντες ἀτερπέα δαῖτα φέροντο.
fish and like spearing joyless feast they-carried-off
ὄφρ' οἱ τοὺς ὄλεκον λιμένος πολυβενθέος ἐντός,
while they them destroyed of-the-harbor very-deep within
τόφρα δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
so-long and I sword sharp drawing from thigh
τῷ ἀπὸ πείσματ' ἔκοψα νεὸς κυανοπρώροιο.
with-it off the-cables I-cut of-the-ship dark-prowed
αἶψα δ' ἐμοῖς ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
quickly and to-my comrades urging I-bade
ἐμβαλέειν κώπῃς, ἵν' ὑπὲκ κακότητα φύγοιμεν·
to-throw-themselves-on the-oars so-that out-of the-evil we-might-flee
οἱ δ' ἅλα πάντες ἀνέρριψαν, δείσαντες ὄλεθρον.
they and the-sea all tossed-up fearing destruction

ἀσπασίως δ' ἐς πόντον ἐπηρεφέας φύγε πέτρας
gladly and to the-sea overhanging fled rocks
νηῦς ἐμή· αὐτὰρ αἱ ἄλλαι ἀολλέες αὐτόθ' ὄλοντο.
ship my but the others together there perished

X.3 · CIRCE'S ISLAND

They came to Aeaea, the island of Circe, Helios' daughter, and rested for two days. Odysseus climbed a lookout and saw smoke rising from her halls. On the way back he killed a great stag and carried it to the ship, and they feasted. The next morning he told the men what he had seen, and they wept, remembering the Cyclops and the Laestrygonians.

" Ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
Thence and further we-sailed grieved at-heart
ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
glad from death dear having-lost comrades
Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιε
Aeaean and to island we-came there and dwelt
Κίρκη ἐυπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα,
Circe fair-tressed dread goddess speaking-with-voice
αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο·
own-sister of-baleful Aeetes
ἄμφω δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο
both and were-born of-light-bringing Helios
μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.
of-mother and from Perse whom Ocean begot as-child
ἔνθα δ' ἐπ' ἀκτῆς νηὶ κατηγαγόμεσθα σιωπῇ
there and on the-shore with-the-ship we-put-in in-silence
ναύλοχον ἐς λιμένα, καί τις θεὸς ἡγεμόνευεν.
sheltering into harbor and some god led(-us)

ἔνθα τότ' ἐκβάντες δύο τ' ἤματα καὶ δύο νύκτας
there then having-landed two and days and two nights
κείμεθ' ὁμοῦ καμάτῳ τε καὶ ἄλγεσι θυμὸν ἔδοντες.
we-lay together with-weariness both and with-pains heart eating
ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ' Ἠώς,
but when indeed the-third day fair-tressed accomplished Dawn
καὶ τότ' ἐγὼν ἐμὸν ἔγχος ἑλὼν καὶ φάσγανον ὀξὺ
and then I my spear taking and sword sharp
καρπαλίμως παρὰ νηὸς ἀνήιον ἐς περιωπήν,
swiftly from the-ship went-up to a-lookout
εἴ πως ἔργα ἴδοιμι βροτῶν ἐνοπήν τε πυθοίμην.
if somehow works I-might-see of-mortals voice and might-hear
ἔστην δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών,
I-stood and a-lookout to rugged having-gone-up
καί μοι ἐείσατο καπνὸς ἀπὸ χθονὸς εὐρυοδείης,
and to-me appeared smoke from the-earth broad-wayed
Κίρκης ἐν μεγάροισι, διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.
of-Circe in the-halls through thickets dense and wood
μερμήριξα δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
I-pondered and then in mind and in heart
ἐλθεῖν ἠδὲ πυθέσθαι, ἐπεὶ ἴδον αἴθοπα καπνόν.
to-go and to-learn since I-saw fiery smoke
ὧδε δέ μοι φρονέοντι δοάσσατο κέρδιον εἶναι,
thus and to-me thinking seemed more-profitable to-be
πρῶτ' ἐλθόντ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης
first going to the-ship swift and the-shore of-the-sea
δεῖπνον ἑταίροισιν δόμεναι προέμεν τε πυθέσθαι.
dinner to-the-comrades to-give to-send-forth and to-learn
ἀλλ' ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
but when indeed near I-was going the-ship curved

καὶ τότε τίς με θεῶν ὀλοφύρατο μοῦνον ἐόντα,
and then some me of-the-gods pitied alone being
ὅς ῥά μοι ὑψίκερων ἔλαφον μέγαν εἰς ὁδὸν αὐτὴν
who then to-me a-high-horned stag great into the-path itself
ἧκεν. ὁ μὲν ποταμόνδε κατήιεν ἐκ νομοῦ ὕλης
sent he indeed to-the-river was-coming-down from the-pasture of-the-wood
πιόμενος· δὴ γάρ μιν ἔχεν μένος ἠελίοιο.
to-drink indeed for him held the-strength of-the-sun
τὸν δ' ἐγὼ ἐκβαίνοντα κατ' ἄκνηστιν μέσα νῶτα
him and I coming-out on the-spine middle back
πλῆξα· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε,
struck it and straight-through the-spear bronze passed
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός.
down and he-fell in the-dust bellowing away and flew the-spirit
τῷ δ' ἐγὼ ἐμβαίνων δόρυ χάλκεον ἐξ ὠτειλῆς
on-him and I stepping the-spear bronze out-of the-wound
εἰρυσάμην· τὸ μὲν αὖθι κατακλίνας ἐπὶ γαίῃ
drew it indeed there laying-down on the-ground
εἴασ'· αὐτὰρ ἐγὼ σπασάμην ῥῶπάς τε λύγους τε,
let(-it)-lie but I plucked brushwood both withies and
πεῖσμα δ', ὅσον τ' ὄργυιαν, ἐυστρεφὲς ἀμφοτέρωθεν
a-rope and as-much-as — a-fathom well-twisted from-both-ends
πλεξάμενος συνέδησα πόδας δεινοῖο πελώρου,
plaiting I-bound-together the-feet of-the-dread monster
βῆν δὲ καταλοφάδεια φέρων ἐπὶ νῆα μέλαιναν
went and slung-around-the-neck carrying(-it) to the-ship black
ἔγχει ἐρειδόμενος, ἐπεὶ οὔ πως ἦεν ἐπ' ὤμου
on-the-spear leaning since not in-any-way it-was-possible on shoulder
χειρὶ φέρειν ἑτέρῃ· μάλα γὰρ μέγα θηρίον ἦεν.
with-hand to-carry(-it) one very for great beast it-was

κὰδ᾽ δ᾽ ἔβαλον προπάροιθε νεός, ἀνέγειρα δ᾽ ἑταίρους
down and I-threw(-it) before the-ship roused and the-comrades
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
with-honeyed words standing-beside man each
"‘‘ Ὦ φίλοι, οὐ γάρ πω καταδυσόμεθ᾽ ἀχνύμενοί περ
O friends not for yet we-shall-go-down grieving though
εἰς Ἀΐδαο δόμους, πρὶν μόρσιμον ἦμαρ ἐπέλθῃ·
to of-Hades the-house before fated day comes
ἀλλ᾽ ἄγετ᾽, ὄφρ᾽ ἐν νηὶ θοῇ βρῶσίς τε πόσις τε,
but come while in ship swift food both drink and
μνησόμεθα βρώμης, μηδὲ τρυχώμεθα λιμῷ.᾽
let-us-think of-food nor be-worn-away by-hunger
"‘ Ὣς ἐφάμην, οἱ δ᾽ ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο,
So I-spoke they and quickly my words obeyed
ἐκ δὲ καλυψάμενοι παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο
out and uncovering by the-shore of-the-sea barren
θηήσαντ᾽ ἔλαφον· μάλα γὰρ μέγα θηρίον ἦεν.
gazed-at the-stag very for great beast it-was
αὐτὰρ ἐπεὶ τάρπησαν ὁρώμενοι ὀφθαλμοῖσιν,
but when they-were-satisfied seeing with-eyes
χεῖρας νιψάμενοι τεύχοντ᾽ ἐρικυδέα δαῖτα.
hands having-washed they-prepared glorious feast
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
so then indeed all day to sun setting
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
we-sat feasting meats both boundless and wine sweet
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
when and the-sun set and on darkness came
δὴ τότε κοιμήθημεν ἐπὶ ῥηγμῖνι θαλάσσης.
indeed then we-slept on the-breakers of-the-sea

ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
when and early-born appeared rosy-fingered Dawn
καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος μετὰ πᾶσιν ἔειπον·
and then I an-assembly having-set among all spoke
"'Κέκλυτέ μευ μύθων, κακά περ πάσχοντες ἑταῖροι·
Hear me words evils though suffering comrades
ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν, ὅπῃ ζόφος οὐδ' ὅπῃ ἠώς,
O friends not for — we-know where the-west nor where the-dawn
οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
nor where the-sun light-bringing goes under the-earth
οὐδ' ὅπῃ ἀννεῖται· ἀλλὰ φραζώμεθα θᾶσσον
nor where it-rises but let-us-consider quickly
εἴ τις ἔτ' ἔσται μῆτις. ἐγὼ δ' οὐκ οἴομαι εἶναι.
if any still will-be counsel I and not think it-to-be
εἶδον γὰρ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθὼν
I-saw for a-lookout to rugged having-gone-up
νῆσον, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται·
an-island which around sea boundless encircles
αὐτὴ δὲ χθαμαλὴ κεῖται· καπνὸν δ' ἐνὶ μέσσῃ
itself and low lies smoke and in the-middle
ἔδρακον ὀφθαλμοῖσι διὰ δρυμὰ πυκνὰ καὶ ὕλην.'
I-saw with-eyes through thickets dense and wood
" Ὣς ἐφάμην, τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ
So I-spoke for-them and was-broken dear heart
μνησαμένοις ἔργων Λαιστρυγόνος Ἀντιφάταο
remembering the-deeds of-the-Laestrygonian Antiphates
Κύκλωπός τε βίης μεγαλήτορος, ἀνδροφάγοιο.
of-the-Cyclops and the-violence great-hearted man-eating

κλαῖον δὲ λιγέως θαλερὸν κατὰ δάκρυ χέοντες·
they-wept and shrilly swelling down tear shedding
ἀλλ᾽ οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισιν.
but not for any accomplishment came for-(them)-wailing

X.4 · THE MEN TURNED TO SWINE

Eurylochus led half the men to Circe's house, where tame wolves and lions fawned on them. Circe welcomed them with a potion of cheese, barley, honey, and wine mixed with drugs, struck them with her wand, and they became swine with their human minds unchanged. Eurylochus, who had stayed outside, fled back to the ship. Odysseus set out alone, though Eurylochus begged him to flee.

"Αὐτὰρ ἐγὼ δίχα πάντας ἐυκνήμιδας ἑταίρους
But I in-two all well-greaved comrades
ἠρίθμεον, ἀρχὸν δὲ μετ᾽ ἀμφοτέροισιν ὄπασσα·
counted a-leader and over both I-gave
τῶν μὲν ἐγὼν ἦρχον, τῶν δ᾽ Εὐρύλοχος θεοειδής.
of-them indeed I led of-them and Eurylochus godlike
κλήρους δ᾽ ἐν κυνέῃ χαλκήρεϊ πάλλομεν ὦκα·
lots and in a-helmet bronze-cheeked we-shook quickly
ἐκ δ᾽ ἔθορε κλῆρος μεγαλήτορος Εὐρυλόχοιο.
out and leapt the-lot of-great-hearted Eurylochus
βῆ δ᾽ ἰέναι, ἅμα τῷ γε δύω καὶ εἴκοσ᾽ ἑταῖροι
went and to-go with him indeed two and twenty comrades
κλαίοντες· κατὰ δ᾽ ἄμμε λίπον γοόωντας ὄπισθεν.
weeping down and us they-left lamenting behind
εὗρον δ᾽ ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης
they-found and in the-glades built the-house of-Circe
ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ·
of-polished stones a-conspicuous in place

ἀμφὶ δέ μιν λύκοι ἦσαν ὀρέστεροι ἠδὲ λέοντες,
around and it wolves were mountain and lions
τοὺς αὐτὴ κατέθελξεν, ἐπεὶ κακὰ φάρμακ' ἔδωκεν.
whom she-herself bewitched since evil drugs she-gave
οὐδ' οἵ γ' ὡρμήθησαν ἐπ' ἀνδράσιν, ἀλλ' ἄρα τοί γε
nor they indeed rushed at the-men but then they indeed
οὐρῇσιν μακρῇσι περισσαίνοντες ἀνέσταν.
with-tails long fawning stood-up
ὡς δ' ὅτ' ἂν ἀμφὶ ἄνακτα κύνες δαίτηθεν ἰόντα
as and when — around the-lord dogs from-a-feast coming
σαίνωσ', αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ,
fawn always for — he-brings tidbits for-the-heart
ὣς τοὺς ἀμφὶ λύκοι κρατερώνυχες ἠδὲ λέοντες
so them around wolves strong-clawed and lions
σαῖνον· τοὶ δ' ἔδεισαν, ἐπεὶ ἴδον αἰνὰ πέλωρα.
fawned they and feared when they-saw the-dread monsters
ἔσταν δ' ἐν προθύροισι θεᾶς καλλιπλοκάμοιο,
they-stood and in the-gateway of-the-goddess fair-tressed
Κίρκης δ' ἔνδον ἄκουον ἀειδούσης ὀπὶ καλῇ,
Circe and within they-heard singing with-voice fair
ἱστὸν ἐποιχομένης μέγαν ἄμβροτον, οἷα θεάων
the-loom going-to-and-fro great immortal such-as of-goddesses
λεπτά τε καὶ χαρίεντα καὶ ἀγλαὰ ἔργα πέλονται.
fine both and graceful and glorious works are
τοῖσι δὲ μύθων ἦρχε Πολίτης ὄρχαμος ἀνδρῶν,
to-them and of-speeches began Polites leader of-men
ὅς μοι κήδιστος ἑτάρων ἦν κεδνότατός τε·
who to-me dearest of-comrades was most-trusted and

"'Ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ἱστὸν
O friends within for someone going-to-and-fro great loom
καλὸν ἀοιδιάει, δάπεδον δ' ἅπαν ἀμφιμέμυκεν,
beautifully sings the-floor and all echoes-around
ἢ θεὸς ἠὲ γυνή· ἀλλὰ φθεγγώμεθα θᾶσσον.'
either a-goddess or a-woman but let-us-call-out quickly
"Ὣς ἄρ' ἐφώνησεν, τοὶ δὲ φθέγγοντο καλεῦντες.
So then he-spoke they and called-out calling
ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς
she and at-once coming-out the-doors opened shining
καὶ κάλει· οἱ δ' ἅμα πάντες ἀιδρείῃσιν ἕποντο·
and called(-them) they and together all in-ignorance followed
Εὐρύλοχος δ' ὑπέμεινεν, ὀισάμενος δόλον εἶναι.
Eurylochus and stayed-behind suspecting a-trick to-be
εἶσεν δ' εἰσαγαγοῦσα κατὰ κλισμούς τε θρόνους τε,
she-seated and leading(-them)-in on armchairs both chairs and
ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν
in and for-them cheese both and barley-meal and honey yellow
οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δὲ σίτῳ
with-wine Pramnian she-stirred mixed-in and with-the-food
φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
drugs baneful so-that utterly they-might-forget native land
αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
but when she-had-given both and they-had-drunk-up at-once then
ῥάβδῳ πεπληγυῖα κατὰ συφεοῖσιν ἐέργνυ.
with-a-wand striking down in-the-pigsties she-penned(-them)
οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς φωνήν τε τρίχας τε
they and of-swine indeed had heads voice both bristles and
καὶ δέμας, αὐτὰρ νοῦς ἦν ἔμπεδος, ὡς τὸ πάρος περ.
and form but mind was steadfast as the before indeed

ὣς οἱ μὲν κλαίοντες ἐέρχατο, τοῖσι δὲ Κίρκη
so they indeed weeping were-penned to-them and Circe
πάρ ῥ' ἄκυλον βάλανόν τε βάλεν καρπόν τε κρανείης
beside then ilex-acorns acorns both threw fruit and of-the-cornel
ἔδμεναι, οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν.
to-eat such-as swine sleeping-on-the-ground always eat
"Εὐρύλοχος δ' αἶψ' ἦλθε θοὴν ἐπὶ νῆα μέλαιναν
Eurylochus and at-once came swift to ship black
ἀγγελίην ἑτάρων ἐρέων καὶ ἀδευκέα πότμον.
tidings of-the-comrades to-tell and bitter fate
οὐδέ τι ἐκφάσθαι δύνατο ἔπος ἱέμενός περ,
nor at-all to-speak-out was-he-able a-word eager though
κῆρ ἄχεϊ μεγάλῳ βεβολημένος· ἐν δέ οἱ ὄσσε
heart with-grief great stricken in and his eyes
δακρυόφιν πίμπλαντο, γόον δ' ὠίετο θυμός.
with-tears were-filled lament and foreboded the-heart
ἀλλ' ὅτε δή μιν πάντες ἀγασσάμεθ' ἐξερέοντες,
but when indeed him all we-marveled questioning
καὶ τότε τῶν ἄλλων ἑτάρων κατέλεξεν ὄλεθρον·
and then of-the other comrades he-recounted destruction
"" Ἤιομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ·
We-went as you-bade through the-thickets glorious Odysseus
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα καλὰ
we-found in the-glades built house fair
ξεστοῖσιν λάεσσι, περισκέπτῳ ἐνὶ χώρῳ.
of-polished stones a-conspicuous in place
ἔνθα δέ τις μέγαν ἱστὸν ἐποιχομένη λίγ' ἄειδεν,
there and someone great loom going-to-and-fro clearly sang
ἢ θεὸς ἠὲ γυνή· τοὶ δὲ φθέγγοντο καλεῦντες.
either a-goddess or a-woman they and called-out calling

ἡ δ᾽ αἶψ᾽ ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς
she and at-once coming-out the-doors opened shining
καὶ κάλει· οἱ δ᾽ ἅμα πάντες ἀιδρείῃσιν ἕποντο·
and called(-them) they and together all in-ignorance followed
αὐτὰρ ἐγὼν ὑπέμεινα, ὀισάμενος δόλον εἶναι.
but I stayed-behind suspecting a-trick to-be
οἱ δ᾽ ἅμ᾽ ἀιστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν
they and together vanished in-a-body nor any of-them
ἐξεφάνη· δηρὸν δὲ καθήμενος ἐσκοπίαζον.᾽
appeared long and sitting I-watched
“ Ὣς ἔφατ᾽, αὐτὰρ ἐγὼ περὶ μὲν ξίφος ἀργυρόηλον
So he-spoke but I round indeed sword silver-studded
ὤμοιιν βαλόμην, μέγα χάλκεον, ἀμφὶ δὲ τόξα·
over-shoulders I-cast great of-bronze around and the-bow
τὸν δ᾽ ἂψ ἠνώγεα αὐτὴν ὁδὸν ἡγήσασθαι.
him and back I-bade the-same way to-lead
αὐτὰρ ὅ γ᾽ ἀμφοτέρῃσι λαβὼν ἐλλίσσετο γούνων
but he indeed with-both taking(-them) beseeched by-the-knees
καί μ᾽ ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
and me lamenting words winged addressed
“‘Μή μ᾽ ἄγε κεῖσ᾽ ἀέκοντα, διοτρεφές, ἀλλὰ λίπ᾽ αὐτοῦ.
Not me lead there unwilling Zeus-nurtured but leave(-me) here
οἶδα γάρ, ὡς οὔτ᾽ αὐτὸς ἐλεύσεαι οὔτε τιν᾽ ἄλλον
I-know for that neither yourself you-will-come nor any other
ἄξεις σῶν ἑτάρων. ἀλλὰ ξὺν τοίσδεσι θᾶσσον
you-will-bring of-your comrades but with these quickly
φεύγωμεν· ἔτι γάρ κεν ἀλύξαιμεν κακὸν ἦμαρ.᾽
let-us-flee still for — we-might-escape evil day

" Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
Εὐρύλοχ', ἦ τοι μὲν σὺ μέν' αὐτοῦ τῷδ' ἐνὶ χώρῳ
Eurylochus truly indeed indeed you stay here this in place
ἔσθων καὶ πίνων κοίλῃ παρὰ νηὶ μελαίνῃ·
eating and drinking hollow by ship black
αὐτὰρ ἐγὼν εἶμι, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη.'
but I go strong and to-me is necessity

X.5 · HERMES AND THE MOLY

On the way Hermes, in the likeness of a young man, gave Odysseus a plant called moly to protect him from Circe's drugs. He told him to draw his sword when Circe struck him, accept her bed, and make her swear an oath to plan no harm. All went as Hermes said: the potion failed, Odysseus threatened her, and she recognized him as Odysseus. After she swore, he went to her bed.

" Ὣς εἰπὼν παρὰ νηὸς ἀνήιον ἠδὲ θαλάσσης.
So having-spoken from the-ship I-went-up and the-sea
ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλον ἰὼν ἱερὰς ἀνὰ βήσσας
but when indeed then I-was-about going sacred through glades
Κίρκης ἵξεσθαι πολυφαρμάκου ἐς μέγα δῶμα,
of-Circe to-reach of-many-drugs to great house
ἔνθα μοι Ἑρμείας χρυσόρραπις ἀντεβόλησεν
there me Hermes of-the-golden-wand met
ἐρχομένῳ πρὸς δῶμα, νεηνίῃ ἀνδρὶ ἐοικώς,
going to the-house to-a-young man like
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη·
first bearded whose indeed most-graceful youth
ἔν τ' ἄρα μοι φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then my he-clung to-hand word and spoke out and named(-me)

"'Πῇ δὴ αὖτ', ὦ δύστηνε, δι' ἄκριας ἔρχεαι οἶος,
Where indeed again O wretched through the-heights do-you-go alone
χώρου ἄιδρις ἐών; ἕταροι δέ τοι οἵδ' ἐνὶ Κίρκης
of-the-place ignorant being comrades and your these in of-Circe('s)
ἔρχαται ὥς τε σύες πυκινοὺς κευθμῶνας ἔχοντες.
are-penned like — swine close lairs having
ἦ τοὺς λυσόμενος δεῦρ' ἔρχεαι; οὐδέ σέ φημι
truly them to-release hither do-you-come nor you I-say
285 αὐτὸν νοστήσειν, μενέεις δὲ σύ γ', ἔνθα περ ἄλλοι.
yourself will-return will-stay and you indeed where indeed others
ἀλλ' ἄγε δή σε κακῶν ἐκλύσομαι ἠδὲ σαώσω.
but come indeed you from-evils I-will-release and save
τῆ, τόδε φάρμακον ἐσθλὸν ἔχων ἐς δώματα Κίρκης
here this drug good having into the-house of-Circe
ἔρχευ, ὅ κέν τοι κρατὸς ἀλάλκῃσιν κακὸν ἦμαρ.
go which — for-you from-head may-ward-off evil day
πάντα δέ τοι ἐρέω ὀλοφώια δήνεα Κίρκης.
all and to-you I-will-tell the-baneful wiles of-Circe
290 τεύξει τοι κυκεῶ, βαλέει δ' ἐν φάρμακα σίτῳ.
she-will-make for-you a-potion will-cast and in drugs into-the-food
ἀλλ' οὐδ' ὣς θέλξαι σε δυνήσεται· οὐ γὰρ ἐάσει
but not-even so to-bewitch you she-will-be-able not for will-allow(-it)
φάρμακον ἐσθλόν, ὅ τοι δώσω, ἐρέω δὲ ἕκαστα.
the-drug good which to-you I-will-give I-will-tell and each-thing
ὁππότε κεν Κίρκη σ' ἐλάσῃ περιμήκεϊ ῥάβδῳ,
when — Circe you strikes with-very-long wand
δὴ τότε σὺ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
indeed then you sword sharp drawing from thigh
295 Κίρκῃ ἐπαΐξαι, ὥς τε κτάμεναι μενεαίνων.
on-Circe rush as — to-kill eager

ἡ δέ σ' ὑποδείσασα κελήσεται εὐνηθῆναι·
she and you fearing will-bid to-lie-with(-her)
ἔνθα σὺ μηκέτ' ἔπειτ' ἀπανήνασθαι θεοῦ εὐνήν,
there you no-longer then refuse of-the-goddess the-bed
ὄφρα κέ τοι λύσῃ θ' ἑτάρους αὐτόν τε κομίσσῃ·
so-that — for-you she-may-release both comrades and yourself may-tend
ἀλλὰ κέλεσθαί μιν μακάρων μέγαν ὅρκον ὀμόσσαι,
but bid her of-the-blessed great oath to-swear
μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο, 300
not at-all for-you yourself woe evil to-plan other
μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃ.'
lest you stripped base and unmanly she-may-make
" Ὣς ἄρα φωνήσας πόρε φάρμακον ἀργεϊφόντης
So then having-spoken gave the-drug the-Argus-slayer
ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτοῦ ἔδειξε.
from the-earth drawing(-it) and to-me the-nature of-it showed
ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος·
at-the-root indeed black it-was to-milk and like the-flower
μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν 305
moly and it call the-gods hard and — to-dig
ἀνδράσι γε θνητοῖσι, θεοὶ δέ τε πάντα δύνανται.
for-men indeed mortal the-gods and — all-things can
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Hermes indeed then departed to high Olympus
νῆσον ἀν' ὑλήεσσαν, ἐγὼ δ' ἐς δώματα Κίρκης
the-island over wooded I and to the-house of-Circe
ἤια, πολλὰ δέ μοι κραδίη πόρφυρε κιόντι.
went much and for-me the-heart was-troubled going
ἔστην δ' εἰνὶ θύρῃσι θεᾶς καλλιπλοκάμοιο· 310
I-stood and in the-doorway of-the-goddess fair-tressed

ἔνθα στὰς ἐβόησα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς.
there standing I-shouted the-goddess and my heard voice
ἡ δ' αἶψ' ἐξελθοῦσα θύρας ὤιξε φαεινὰς
she and at-once coming-out the-doors opened shining
καὶ κάλει· αὐτὰρ ἐγὼν ἑπόμην ἀκαχήμενος ἦτορ.
and called(-me) but I followed grieved at-heart
εἶσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου
seated and me leading(-me)-in on a-chair silver-studded
καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
fair ornate under and footstool for-feet was
τεῦχε δέ μοι κυκεῶ χρυσέῳ δέπαι, ὄφρα πίοιμι,
made and for-me a-potion in-golden cup so-that I-might-drink
ἐν δέ τε φάρμακον ἧκε, κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
in and — the-drug put evil-things thinking in heart
αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ' ἔθελξε,
but when she-had-given both and I-had-drunk-up nor me bewitched(-it)
ῥάβδῳ πεπληγυῖα ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
with-wand striking word and spoke out and named(-me)
'Ἔρχεο νῦν συφεόνδε, μετ' ἄλλων λέξο ἑταίρων.'
Go now to-the-sty among others lie comrades
"Ὣς φάτ', ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
So she-spoke I and sword sharp drawing from thigh
Κίρκῃ ἐπήιξα ὥς τε κτάμεναι μενεαίνων.
on-Circe rushed as — to-kill eager
ἡ δὲ μέγα ἰάχουσα ὑπέδραμε καὶ λάβε γούνων,
she and greatly shrieking ran-under and seized the-knees
καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
and me lamenting words winged addressed

"'Τίς, πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Who whence are-you of-men where your city and parents
θαῦμά μ' ἔχει ὡς οὔ τι πιὼν τάδε φάρμακ' ἐθέλχθης·
wonder me holds that not at-all drinking these drugs you-were-bewitched
οὐδὲ γὰρ οὐδέ τις ἄλλος ἀνὴρ τάδε φάρμακ' ἀνέτλη,
nor for not-even any other man these drugs endured
ὅς κε πίῃ καὶ πρῶτον ἀμείψεται ἕρκος ὀδόντων.
who — drinks and first passes the-fence of-teeth
σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστίν.
in-you and some in breast unbewitchable mind is
ἦ σύ γ' Ὀδυσσεύς ἐσσι πολύτροπος, ὅν τέ μοι αἰεὶ
truly you indeed Odysseus are of-many-turns whom — to-me always
φάσκεν ἐλεύσεσθαι χρυσόρραπις ἀργεϊφόντης,
said would-come of-the-golden-wand Argus-slayer
ἐκ Τροίης ἀνιόντα θοῇ σὺν νηὶ μελαίνῃ.
from Troy coming swift with ship black
ἀλλ' ἄγε δὴ κολεῷ μὲν ἄορ θέο, νῶι δ' ἔπειτα
but come indeed into-the-scabbard indeed sword put we-two and then
εὐνῆς ἡμετέρης ἐπιβείομεν, ὄφρα μιγέντε
bed our let-us-go-up-onto so-that united
εὐνῇ καὶ φιλότητι πεποίθομεν ἀλλήλοισιν.'
in-bed and in-love we-may-trust each-other
"Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So she-spoke but I her answering addressed
'Ὦ Κίρκη, πῶς γάρ με κέλεαι σοὶ ἤπιον εἶναι,
O Circe how for me bid to-you gentle to-be
ἥ μοι σῦς μὲν ἔθηκας ἐνὶ μεγάροισιν ἑταίρους,
who for-me swine indeed made in the-halls comrades

αὐτὸν δ᾽ ἐνθάδ᾽ ἔχουσα δολοφρονέουσα κελεύεις
myself and here holding with-guileful-intent you-bid
ἐς θάλαμόν τ᾽ ἰέναι καὶ σῆς ἐπιβήμεναι εὐνῆς,
into chamber both to-go and your to-go-up-onto bed
ὄφρα με γυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃς.
so-that me stripped base and unmanly you-may-make
οὐδ᾽ ἂν ἐγώ γ᾽ ἐθέλοιμι τεῆς ἐπιβήμεναι εὐνῆς,
nor — I indeed would-wish your to-go-up-onto bed
εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι
if not for-me you-would-endure indeed goddess a-great oath to-swear
μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.᾽
not at-all for-me myself woe evil to-plan other
“ Ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀπώμνυεν, ὡς ἐκέλευον.
So I-spoke she and at-once swore as I-bade
αὐτὰρ ἐπεί ῥ᾽ ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
but when then she-swore both completed and the oath
καὶ τότ᾽ ἐγὼ Κίρκης ἐπέβην περικαλλέος εὐνῆς.
and then I of-Circe went-up-onto very-fair bed

Circe's four nymphs prepared seats, tables, wine, and a bath. Odysseus would not eat until Circe freed his men; she anointed them, and they became men again, younger and more handsome. All wept, and Circe pitied them. She told Odysseus to beach the ship and bring the rest of his comrades.

" Ἀμφίπολοι δ' ἄρα τέως μὲν ἐνὶ μεγάροισι πένοντο
Handmaids and then meanwhile indeed in the-halls were-busy
τέσσαρες, αἵ οἱ δῶμα κάτα δρήστειραι ἔασι·
four who her house throughout servants are
γίγνονται δ' ἄρα ταί γ' ἔκ τε κρηνέων ἀπό τ' ἀλσέων
are-born and then they indeed from both springs from and groves
ἔκ θ' ἱερῶν ποταμῶν, οἵ τ' εἰς ἅλαδε προρέουσι.
from and sacred rivers which — into the-sea flow-forth
τάων ἡ μὲν ἔβαλλε θρόνοις ἔνι ῥήγεα καλὰ
of-them the-one indeed cast on-the-chairs on blankets fair
πορφύρεα καθύπερθ', ὑπένερθε δὲ λῖθ' ὑπέβαλλεν·
purple above beneath and linen she-cast-under
ἡ δ' ἑτέρη προπάροιθε θρόνων ἐτίταινε τραπέζας
the and second before the-chairs stretched-out tables
ἀργυρέας, ἐπὶ δέ σφι τίθει χρύσεια κάνεια·
silver on and them set golden baskets
ἡ δὲ τρίτη κρητῆρι μελίφρονα οἶνον ἐκίρνα
the and third in-a-mixing-bowl honey-hearted wine mixed
ἡδὺν ἐν ἀργυρέῳ, νέμε δὲ χρύσεια κύπελλα·
sweet in silver distributed and golden cups
ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει καὶ πῦρ ἀνέκαιε
the and fourth water brought and fire kindled
πολλὸν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
much under the-tripod great was-warmed and the-water

αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
but when indeed boiled the-water in the-flashing bronze
ἔς ῥ' ἀσάμινθον ἔσασα λό' ἐκ τρίποδος μεγάλοιο,
into then the-bathtub seating(-me) she-bathed(-me) from the-tripod great
θυμῆρες κεράσασα, κατὰ κρατός τε καὶ ὤμων,
pleasantly mixing(-it) over head both and shoulders
ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων.
until from-me out weariness soul-destroying she-took from-the-limbs
αὐτὰρ ἐπεὶ λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
but when she-had-bathed both and anointed richly with-oil
ἀμφὶ δέ με χλαῖναν καλὴν βάλεν ἠδὲ χιτῶνα,
around and me a-cloak fair cast and a-tunic
εἷσε δέ μ' εἰσαγαγοῦσα ἐπὶ θρόνου ἀργυροήλου
seated and me leading-in on a-chair silver-studded
καλοῦ δαιδαλέου, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
fair ornate under and footstool for-feet was
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
water-for-hands and a-maid from-a-ewer poured-over bringing
καλῇ χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
fair golden over silver basin
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
to-wash beside and polished she-set-out table
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
bread and modest housekeeper set-beside bringing
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
foods many adding giving-freely from-what-was-there
ἐσθέμεναι δ' ἐκέλευεν· ἐμῷ δ' οὐχ ἥνδανε θυμῷ,
to-eat and she-bade my but not pleased heart
ἀλλ' ἧμην ἀλλοφρονέων, κακὰ δ' ὄσσετο θυμός.
but I-sat thinking-of-other-things evils and foreboded the-heart

"Κίρκη δ' ὡς ἐνόησεν ἔμ' ἥμενον οὐδ' ἐπὶ σίτῳ
Circe and when she-noticed me sitting nor on the-food
χεῖρας ἰάλλοντα, κρατερὸν δέ με πένθος ἔχοντα,
hands laying strong and me grief having
ἄγχι παρισταμένη ἔπεα πτερόεντα προσηύδα·
near standing-by words winged addressed
"'Τίφθ' οὕτως, Ὀδυσεῦ, κατ' ἄρ' ἕζεαι ἶσος ἀναύδῳ,
Why thus Odysseus down then do-you-sit like to-a-mute
θυμὸν ἔδων, βρώμης δ' οὐχ ἅπτεαι οὐδὲ ποτῆτος;
heart eating of-food and not do-you-touch nor of-drink
ἦ τινά που δόλον ἄλλον ὀίεαι· οὐδέ τί σε χρὴ
truly some surely trick other you-suspect nor at-all you it-befits
δειδίμεν· ἤδη γάρ τοι ἀπώμοσα καρτερὸν ὅρκον.'
to-fear already for to-you I-have-sworn a-mighty oath
" Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So she-spoke but I her answering addressed
' Ὦ Κίρκη, τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη,
O Circe who for — man who righteous might-be
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
before would-endure to-taste of-food and of-drink
πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;
before to-release the-comrades and with eyes to-see(-them)
ἀλλ' εἰ δὴ πρόφρασσα πιεῖν φαγέμεν τε κελεύεις,
but if indeed kindly to-drink to-eat and you-bid(-me)
λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω ἐρίηρας ἑταίρους.'
release(-them) so-that with-eyes I-may-see trusty comrades
" Ὣς ἐφάμην, Κίρκη δὲ διὲκ μεγάροιο βεβήκει
So I-spoke Circe and through the-hall went
ῥάβδον ἔχουσ' ἐν χειρί, θύρας δ' ἀνέῳξε συφειοῦ,
the-wand holding in hand the-doors and opened of-the-sty

ἐκ δ' ἔλασεν σιάλοισιν ἐοικότας ἐννεώροισιν.
out and drove(-them) to-swine like nine-years-old
οἱ μὲν ἔπειτ' ἔστησαν ἐναντίοι, ἡ δὲ δι' αὐτῶν
they indeed then stood facing(-her) she and through them
ἐρχομένη προσάλειφεν ἑκάστῳ φάρμακον ἄλλο.
going anointed each drug another
τῶν δ' ἐκ μὲν μελέων τρίχες ἔρρεον, ἃς πρὶν ἔφυσε
of-them and from indeed the-limbs the-bristles fell which before grew
φάρμακον οὐλόμενον, τό σφιν πόρε πότνια Κίρκη·
the-drug baneful which to-them gave queenly Circe
ἄνδρες δ' ἂψ ἐγένοντο νεώτεροι ἢ πάρος ἦσαν,
men and again they-became younger than before they-were
καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.
and much more-handsome and taller to-look-on
ἔγνωσαν δέ μ' ἐκεῖνοι ἔφυν τ' ἐν χερσὶν ἕκαστος.
they-knew and me they clung and in hands each
πᾶσιν δ' ἱμερόεις ὑπέδυ γόος, ἀμφὶ δὲ δῶμα
on-all and a-longing came-upon lament around and the-house
σμερδαλέον κονάβιζε· θεὰ δ' ἐλέαιρε καὶ αὐτή.
terribly echoed the-goddess and pitied also herself
" Ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
She and me near standing addressed bright of-goddesses
'Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
ἔρχεο νῦν ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
go now to the-ship swift and the-shore of-the-sea
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσατε ἤπειρόνδε,
the-ship indeed then first-of-all draw to-the-land

κτήματα δ' ἐν σπήεσσι πελάσσατε ὅπλα τε πάντα·
possessions and in caves bring tackle and all
αὐτὸς δ' ἂψ ἰέναι καὶ ἄγειν ἐρίηρας ἑταίρους.' 405
yourself and back go and bring trusty comrades

X.7 · A YEAR WITH CIRCE

The comrades at the ship greeted Odysseus like calves greeting their mothers. Eurylochus tried to stop them going, recalling the Cyclops, and Odysseus nearly killed him. Circe feasted them all, and they stayed a full year. Then the comrades reminded Odysseus of home, and he begged Circe to send them on their way.

" Ὣς ἔφατ', αὐτὰρ ἐμοί γ' ἐπεπείθετο θυμὸς ἀγήνωρ,
So she-spoke but my indeed was-persuaded heart proud
βῆν δ' ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
went and to-go to the-ship swift and the-shore of-the-sea
εὗρον ἔπειτ' ἐπὶ νηὶ θοῇ ἐρίηρας ἑταίρους
found then at the-ship swift trusty comrades
οἴκτρ' ὀλοφυρομένους, θαλερὸν κατὰ δάκρυ χέοντας.
piteously lamenting swelling down tear shedding
ὡς δ' ὅτ' ἂν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας, 410
as and when — field-dwelling calves around cows of-the-herd
ἐλθούσας ἐς κόπρον, ἐπὴν βοτάνης κορέσωνται,
coming to the-dung-yard when with-grazing they-are-sated
πᾶσαι ἅμα σκαίρουσιν ἐναντίαι· οὐδ' ἔτι σηκοὶ
all together frisk facing(-them) nor longer the-pens
ἴσχουσ', ἀλλ' ἀδινὸν μυκώμεναι ἀμφιθέουσι·
hold(-them) but thickly lowing run-around
μητέρας· ὣς ἔμ' ἐκεῖνοι ἐπεὶ ἴδον ὀφθαλμοῖσι,
the-mothers so me they when they-saw with-eyes

δακρυόεντες ἔχυντο· δόκησε δ' ἄρα σφίσι θυμὸς
tearful poured-round seemed and then to-them the-heart
ὣς ἔμεν, ὡς εἰ πατρίδ' ἱκοίατο καὶ πόλιν αὐτὴν
so to-be as if to-native-land they-had-come and city itself
τρηχείης Ἰθάκης, ἵνα τ' ἔτραφεν ἠδ' ἐγένοντο.
of-rugged Ithaca where — they-were-reared and were-born
καί μ' ὀλοφυρόμενοι ἔπεα πτερόεντα προσηύδων·
and me lamenting words winged they-addressed
"'Σοὶ μὲν νοστήσαντι, διοτρεφές, ὣς ἐχάρημεν,
At-you indeed having-returned Zeus-nurtured so we-rejoiced
ὡς εἴ τ' εἰς Ἰθάκην ἀφικοίμεθα πατρίδα γαῖαν·
as if — to Ithaca we-had-come native land
ἀλλ' ἄγε, τῶν ἄλλων ἑτάρων κατάλεξον ὄλεθρον.'
but come of-the other comrades recount the-destruction
" Ὣς ἔφαν, αὐτὰρ ἐγὼ προσέφην μαλακοῖς ἐπέεσσι·
So they-spoke but I addressed(-them) with-soft words
'Νῆα μὲν ἦρ πάμπρωτον ἐρύσσομεν ἤπειρόνδε,
The-ship indeed then first-of-all let-us-draw to-the-land
κτήματα δ' ἐν σπήεσσι πελάσσομεν ὅπλα τε πάντα·
possessions and in caves let-us-bring tackle and all
αὐτοὶ δ' ὀτρύνεσθε ἐμοὶ ἅμα πάντες ἕπεσθαι,
yourselves and hurry with-me together all to-follow
ὄφρα ἴδηθ' ἑτάρους ἱεροῖς ἐν δώμασι Κίρκης
so-that you-may-see the-comrades the-sacred in house of-Circe
πίνοντας καὶ ἔδοντας· ἐπηετανὸν γὰρ ἔχουσιν.'
drinking and eating all-year-round for they-have(-it)

" Ὣς ἐφάμην, οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.
So I-spoke they and quickly my words obeyed
Εὐρύλοχος δέ μοι οἶος ἐρύκανε πάντας ἑταίρους·
Eurylochus and me alone held-back all comrades
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
and them having-spoken words winged addressed
"" Ἆ δειλοί, πόσ' ἴμεν; τί κακῶν ἱμείρετε τούτων;
Ah wretched-ones whither do-we-go why evils do-you-long-for these
Κίρκης ἐς μέγαρον καταβήμεναι, ἥ κεν ἅπαντας
of-Circe to the-hall to-go-down who — all
ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας,
either swine or wolves will-make or lions
οἵ κέν οἱ μέγα δῶμα φυλάσσοιμεν καὶ ἀνάγκῃ,
who — for-her great house may-guard even by-necessity
ὥς περ Κύκλωψ ἔρξ', ὅτε οἱ μέσσαυλον ἵκοντο
as indeed the-Cyclops did when his inner-court came
ἡμέτεροι ἕταροι, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς·
our comrades with and the bold followed Odysseus
τούτου γὰρ καὶ κεῖνοι ἀτασθαλίῃσιν ὄλοντο.'
of-this-man for also they by-recklessness perished
" Ὣς ἔφατ', αὐτὰρ ἐγώ γε μετὰ φρεσὶ μερμήριξα,
So he-spoke but I indeed in mind pondered
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
having-drawn long-edged sword stout from thigh
τῷ οἱ ἀποπλήξας κεφαλὴν οὐδάσδε πελάσσαι,
with-it his having-struck-off head to-the-ground to-bring
καὶ πηῷ περ ἐόντι μάλα σχεδόν· ἀλλά μ' ἑταῖροι
even kinsman though being very near but me comrades
μειλιχίοις ἐπέεσσιν ἐρήτυνον ἄλλοθεν ἄλλος·
with-honeyed words restrained(-me) from-elsewhere other

"'Διογενές, τοῦτον μὲν ἐάσομεν, εἰ σὺ κελεύεις,
Zeus-born this-one indeed we-will-let(-be) if you bid
αὐτοῦ πὰρ νηί τε μένειν καὶ νῆα ἔρυσθαι·
there by the-ship both to-stay and the-ship to-guard
ἡμῖν δ' ἡγεμόνευ' ἱερὰ πρὸς δώματα Κίρκης.'
for-us and lead sacred to the-house of-Circe
"Ὣς φάμενοι παρὰ νηὸς ἀνήιον ἠδὲ θαλάσσης.
So saying from the-ship they-went-up and the-sea
οὐδὲ μὲν Εὐρύλοχος κοίλῃ παρὰ νηὶ λέλειπτο,
not-even indeed Eurylochus hollow by ship was-left
ἀλλ' ἕπετ'· ἔδεισεν γὰρ ἐμὴν ἔκπαγλον ἐνιπήν.
but followed he-feared for my terrible rebuke
"Τόφρα δὲ τοὺς ἄλλους ἑτάρους ἐν δώμασι Κίρκη
So-long and the other comrades in the-house Circe
ἐνδυκέως λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
kindly bathed both and anointed richly with-oil
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλεν ἠδὲ χιτῶνας·
around and then cloaks woolly cast and tunics
δαινυμένους δ' ἐὺ πάντας ἐφεύρομεν ἐν μεγάροισιν.
feasting and well all we-found in the-halls
οἱ δ' ἐπεὶ ἀλλήλους εἶδον φράσσαντό τ' ἐσάντα,
they and when each-other they-saw recognized and face-to-face
κλαῖον ὀδυρόμενοι, περὶ δὲ στεναχίζετο δῶμα.
wept lamenting around and groaned the-house
ἡ δέ μευ ἄγχι στᾶσα προσηύδα δῖα θεάων·
she and me near standing addressed bright of-goddesses
"'Μηκέτι νῦν θαλερὸν γόον ὄρνυτε· οἶδα καὶ αὐτὴ
No-longer now swelling lament rouse I-know also myself
ἠμὲν ὅσ' ἐν πόντῳ πάθετ' ἄλγεα ἰχθυόεντι,
both how-many on the-sea you-suffered pains fish-filled

ἠδ᾽ ὅσ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου.
and how-many hostile men harmed(-you) on land
ἀλλ᾽ ἄγετ᾽ ἐσθίετε βρώμην καὶ πίνετε οἶνον,
but come eat food and drink wine
εἰς ὅ κεν αὖτις θυμὸν ἐνὶ στήθεσσι λάβητε,
until (the-time)-when — again spirit in breast you-take
οἷον ὅτε πρώτιστον ἐλείπετε πατρίδα γαῖαν
such-as when first-of-all you-left native land
τρηχείης Ἰθάκης. νῦν δ᾽ ἀσκελέες καὶ ἄθυμοι,
of-rugged Ithaca now and dried-up and spiritless
αἰὲν ἄλης χαλεπῆς μεμνημένοι, οὐδέ ποθ᾽ ὔμιν
always of-wandering hard remembering nor ever your
θυμὸς ἐν εὐφροσύνῃ, ἐπεὶ ἦ μάλα πολλὰ πέποσθε.᾽
heart in good-cheer since truly very much you-have-suffered
“ Ὣς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So she-spoke our and in-turn was-persuaded heart proud
ἔνθα μὲν ἤματα πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
there indeed days all full to year
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
we-sat feasting meats both boundless and wine sweet
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐνιαυτὸς ἔην, περὶ δ᾽ ἔτραπον ὧραι
but when indeed then a-year it-was around and turned the-seasons
μηνῶν φθινόντων, περὶ δ᾽ ἤματα μακρὰ τελέσθη,
of-the-months waning around and days long were-completed
καὶ τότε μ᾽ ἐκκαλέσαντες ἔφαν ἐρίηρες ἑταῖροι·
and then me having-called-out spoke trusty comrades

"'Δαιμόνι', ἤδη νῦν μιμνήσκεο πατρίδος αἴης,
Strange-man already now remember native land
εἴ τοι θέσφατόν ἐστι σαωθῆναι καὶ ἱκέσθαι
if for-you destined it-is to-be-saved and to-reach
οἶκον ἐς ὑψόροφον καὶ σὴν ἐς πατρίδα γαῖαν.'
house to high-roofed and your to native land
" Ὣς ἔφαν, αὐτὰρ ἐμοί γ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So they-spoke but my indeed was-persuaded heart proud
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
so then indeed all day to sun setting
ἥμεθα, δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·
we-sat feasting meats both boundless and wine sweet
ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
when and the-sun set and on darkness came
οἱ μὲν κοιμήσαντο κατὰ μέγαρα σκιόεντα.
they indeed lay-down throughout the-halls shadowy
αὐτὰρ ἐγὼ Κίρκης ἐπιβὰς περικαλλέος εὐνῆς
but I of-Circe going-up-onto very-fair bed
γούνων ἐλλιτάνευσα, θεὰ δέ μευ ἔκλυεν αὐδῆς·
by-the-knees entreated the-goddess and my heard voice
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
and her having-spoken words winged I-addressed
"'Ὦ Κίρκη, τέλεσόν μοι ὑπόσχεσιν ἥν περ ὑπέστης,
O Circe accomplish for-me the-promise which indeed you-promised
οἴκαδε πεμψέμεναι· θυμὸς δέ μοι ἔσσυται ἤδη,
home to-send(-me) heart and my is-eager already
ἠδ' ἄλλων ἑτάρων, οἵ μευ φθινύθουσι φίλον κῆρ
and of-other comrades who my waste dear heart
ἀμφ' ἔμ' ὀδυρόμενοι, ὅτε που σύ γε νόσφι γένηαι.'
around me lamenting when somehow you indeed apart are

Circe told Odysseus that he must first go to the house of Hades to consult the seer Teiresias. She told him where to beach the ship on the shore of Ocean, and how to dig a pit, pour libations, sacrifice a ram and a black ewe, and keep the dead from the blood until he had questioned Teiresias. As they set out, the youngest comrade, Elpenor, who had slept drunk on the roof, fell from it and broke his neck. Odysseus told the men where they were going, and they wept.

“ Ὣς ἐφάμην, ἡ δ’ αὐτίκ’ ἀμείβετο δῖα θεάων·
So I-spoke she and at-once answered bright of-goddesses
‘Διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
μηκέτι νῦν ἀέκοντες ἐμῷ ἐνὶ μίμνετε οἴκῳ.
no-longer now unwilling my in stay house
ἀλλ’ ἄλλην χρὴ πρῶτον ὁδὸν τελέσαι καὶ ἱκέσθαι
but another must first journey accomplish and reach
εἰς Ἀίδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης,
to of-Hades the-house and of-dread Persephone
ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο,
the-soul to-consult of-Theban Teiresias
μάντηος ἀλαοῦ, τοῦ τε φρένες ἔμπεδοί εἰσι·
of-the-seer blind whose — wits steadfast are
τῷ καὶ τεθνηῶτι νόον πόρε Περσεφόνεια,
to-him even dead mind gave Persephone
οἴῳ πεπνῦσθαι, τοὶ δὲ σκιαὶ ἀίσσουσιν.’
alone to-have-understanding the-others and shadows flit

" Ὣς ἔφατ', αὐτὰρ ἐμοί γε κατεκλάσθη φίλον ἦτορ·
So she-spoke but my indeed was-broken dear heart
κλαῖον δ' ἐν λεχέεσσι καθήμενος, οὐδέ νύ μοι κῆρ
I-wept and in bed sitting nor now my heart
ἤθελ' ἔτι ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
wished still to-live and to-see the-light of-the-sun
αὐτὰρ ἐπεὶ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθην,
but when weeping both rolling and I-was-sated
καὶ τότε δή μιν ἔπεσσιν ἀμειβόμενος προσέειπον·
and then indeed her with-words answering I-addressed
"" Ὦ Κίρκη, τίς γὰρ ταύτην ὁδὸν ἡγεμονεύσει;
O Circe who for this way will-guide
εἰς Ἄιδος δ' οὔ πώ τις ἀφίκετο νηὶ μελαίνῃ.'
to of-Hades and not yet anyone came with-ship black
" Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
So I-spoke she and at-once answered bright of-goddesses
'Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
μή τί τοι ἡγεμόνος γε ποθὴ παρὰ νηὶ μελέσθω,
not at-all for-you of-a-guide indeed longing by the-ship let-be-of-concern
ἱστὸν δὲ στήσας, ἀνά θ' ἱστία λευκὰ πετάσσας
mast and having-set-up up and sails white having-spread
ἧσθαι· τὴν δέ κέ τοι πνοιὴ Βορέαο φέρῃσιν.
sit her and — you the-breath of-Boreas will-bear
ἀλλ' ὁπότ' ἂν δὴ νηὶ δι' Ὠκεανοῖο περήσῃς,
but when — indeed with-the-ship through Ocean you-cross
ἔνθ' ἀκτή τε λάχεια καὶ ἄλσεα Περσεφονείης,
there a-shore both small and groves of-Persephone
μακραί τ' αἴγειροι καὶ ἰτέαι ὠλεσίκαρποι,
tall both poplars and willows fruit-losing

νῆα μὲν αὐτοῦ κέλσαι ἐπ᾽ Ὠκεανῷ βαθυδίνῃ,
the-ship indeed there beach by Ocean deep-eddying
αὐτὸς δ᾽ εἰς Ἀΐδεω ἰέναι δόμον εὐρώεντα.
yourself and to of-Hades go the-house dank
ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσιν
there indeed into Acheron Pyriphlegethon both flow
Κώκυτός θ᾽, ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ,
Cocytus and which indeed of-Styx of-the-water is a-branch
πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριδούπων·
a-rock both junction and of-the-two rivers roaring
ἔνθα δ᾽ ἔπειθ᾽, ἥρως, χριμφθεὶς πέλας, ὥς σε κελεύω,
there and then hero drawing near as you I-bid
βόθρον ὀρύξαι, ὅσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
a-pit to-dig as-much-as — a-cubit this-way and that-way
ἀμφ᾽ αὐτῷ δὲ χοὴν χεῖσθαι πᾶσιν νεκύεσσιν,
around it and a-libation to-pour to-all the-dead
πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέι οἴνῳ,
first with-honey-mixed afterward and with-sweet wine
τὸ τρίτον αὖθ᾽ ὕδατι· ἐπὶ δ᾽ ἄλφιτα λευκὰ παλύνειν.
the third again with-water on and barley white to-sprinkle
πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα,
much and entreat of-the-dead the-strengthless heads
ἐλθὼν εἰς Ἰθάκην στείραν βοῦν, ἥ τις ἀρίστη,
coming to Ithaca a-barren heifer which any best
ῥέξειν ἐν μεγάροισι πυρήν τ᾽ ἐμπλησέμεν ἐσθλῶν,
to-sacrifice in the-halls a-pyre and to-fill with-good-things
Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄιν ἱερευσέμεν οἴῳ
for-Teiresias and apart a-ram to-sacrifice alone
παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ὑμετέροισιν.
all-black which among-the-flocks is-conspicuous your

αὐτὰρ ἐπὴν εὐχῇσι λίσῃ κλυτὰ ἔθνεα νεκρῶν,
but when with-prayers you-beseech the-famous tribes of-the-dead
ἔνθ' ὄιν ἀρνειὸν ῥέζειν θῆλύν τε μέλαιναν
then sheep a-ram to-sacrifice female and black
εἰς Ἔρεβος στρέψας, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι
toward Erebus turning(-them) yourself and apart to-turn
ἱέμενος ποταμοῖο ῥοάων· ἔνθα δὲ πολλαὶ
eager-for the-river's streams there and many
ψυχαὶ ἐλεύσονται νεκύων κατατεθνηώτων.
souls will-come of-the-dead having-died
δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρῦναι καὶ ἀνῶξαι
indeed then then the-comrades to-urge and to-bid
μῆλα, τὰ δὴ κατάκειτ' ἐσφαγμένα νηλέι χαλκῷ,
the-flocks which indeed lie slaughtered with-pitiless bronze
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,
having-flayed(-them) to-burn to-pray and to-the-gods
ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·
to-mighty both Hades and dread Persephone
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
yourself and sword sharp drawing from thigh
ἧσθαι, μηδὲ ἐᾶν νεκύων ἀμενηνὰ κάρηνα
to-sit nor to-let of-the-dead the-strengthless heads
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
the-blood nearer to-go before from-Teiresias to-learn
ἔνθα τοι αὐτίκα μάντις ἐλεύσεται, ὄρχαμε λαῶν,
there to-you at-once the-seer will-come leader of-the-people
ὅς κέν τοι εἴπῃσιν ὁδὸν καὶ μέτρα κελεύθου
who — to-you may-tell the-way and the-measures of-the-path
νόστον θ', ὡς ἐπὶ πόντον ἐλεύσεαι ἰχθυόεντα.'
return and how over the-sea you-shall-go fish-filled

“ Ὣς ἔφατ’, αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
So she-spoke at-once and golden-throned came Dawn
ἀμφὶ δέ με χλαῖνάν τε χιτῶνά τε εἵματα ἕσσεν·
around and me cloak both tunic and as-clothes she-put
αὐτὴ δ’ ἀργύφεον φᾶρος μέγα ἔννυτο νύμφη,
she-herself and silvery robe great put-on the-nymph
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ’ ἰξυῖ
fine and graceful around and a-girdle she-threw at-the-waist
καλὴν χρυσείην, κεφαλῇ δ’ ἐπέθηκε καλύπτρην.
fair golden on-head and she-put a-veil
αὐτὰρ ἐγὼ διὰ δώματ’ ἰὼν ὤτρυνον ἑταίρους
but I through the-house going urged the-comrades
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
with-honeyed words standing-beside man each
“‘Μηκέτι νῦν εὕδοντες ἀωτεῖτε γλυκὺν ὕπνον,
No-longer now sleeping slumber sweet sleep
ἀλλ’ ἴομεν· δὴ γάρ μοι ἐπέφραδε πότνια Κίρκη.’
but let-us-go indeed for to-me showed(-the-way) queenly Circe
“ Ὣς ἐφάμην, τοῖσιν δ’ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So I-spoke to-them and was-persuaded heart proud
οὐδὲ μὲν οὐδ’ ἔνθεν περ ἀπήμονας ἦγον ἑταίρους.
nor indeed even from-there indeed unharmed did-I-lead comrades
Ἐλπήνωρ δέ τις ἔσκε νεώτατος, οὔτε τι λίην
Elpenor and a-certain was youngest neither at-all very
ἄλκιμος ἐν πολέμῳ οὔτε φρεσὶν ᾗσιν ἀρηρώς·
valiant in war nor in-wits his-own fitted
ὅς μοι ἄνευθ’ ἑτάρων ἱεροῖς ἐν δώμασι Κίρκης,
who for-me apart-from comrades the-sacred in house of-Circe
ψύχεος ἱμείρων, κατελέξατο οἰνοβαρείων.
for-coolness longing lay-down heavy-with-wine

κινυμένων δ' ἑτάρων ὅμαδον καὶ δοῦπον ἀκούσας
moving and of-the-comrades the-din and thud hearing
ἐξαπίνης ἀνόρουσε καὶ ἐκλάθετο φρεσὶν ἦσιν
suddenly leapt-up and forgot in-mind his-own
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
back to-go-down going to the-ladder long
ἀλλὰ καταντικρὺ τέγεος πέσεν· ἐκ δέ οἱ αὐχὴν
but right-down from-the-roof he-fell out and his neck
ἀστραγάλων ἐάγη, ψυχὴ δ' Ἄιδόσδε κατῆλθεν.
from-the-vertebrae was-broken the-soul and to-Hades went-down
" Ἐρχομένοισι δὲ τοῖσιν ἐγὼ μετὰ μῦθον ἔειπον·
Going and to-them I among speech spoke
'Φάσθε νύ που οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
You-think now surely home dear to native land
ἔρχεσθ'· ἄλλην δ' ἦμιν ὁδὸν τεκμήρατο Κίρκη,
to-go another but for-us journey has-marked-out Circe
εἰς Ἀίδαο δόμους καὶ ἐπαινῆς Περσεφονείης
to of-Hades the-house and of-dread Persephone
ψυχῇ χρησομένους Θηβαίου Τειρεσίαο.'
the-soul to-consult of-Theban Teiresias
" Ὣς ἐφάμην, τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ,
So I-spoke for-them and was-broken dear heart
ἑζόμενοι δὲ κατ' αὖθι γόων τίλλοντό τε χαίτας·
sitting and down there wailing tore and hair
ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίγνετο μυρομένοισιν.
but not for any accomplishment came for-the-wailing
" Ἀλλ' ὅτε δή ῥ' ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης
But when indeed then to the-ship swift and the-shore of-the-sea
ἤομεν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες,
we-went grieving swelling down tear shedding

τόφρα δ' ἄρ' οἰχομένη Κίρκη παρὰ νηὶ μελαίνῃ
meanwhile and then going Circe by ship black
ἀρνειὸν κατέδησεν ὄιν θῆλύν τε μέλαιναν,
a-ram tied-up sheep female and black
ῥεῖα παρεξελθοῦσα· τίς ἂν θεὸν οὐκ ἐθέλοντα
easily slipping-past who — a-god not willing
ὀφθαλμοῖσιν ἴδοιτ' ἢ ἔνθ' ἢ ἔνθα κιόντα;
with-eyes could-see either thither or hither going

BOOK XI

XI.1 · THE SACRIFICE AND ELPENOR

They sailed to the land of the Cimmerians at the edge of Ocean. Odysseus dug the pit, poured libations, and cut the victims' throats, and the souls of the dead gathered. The first was Elpenor, who begged Odysseus to burn his body with his armor and to raise a barrow with his oar fixed on it. Odysseus promised. Then came the soul of his mother Anticleia, but he held her back from the blood.

"Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλθομεν ἠδὲ θάλασσαν,
But when then to the-ship we-had-come-down and the-sea
νῆα μὲν ἂρ πάμπρωτον ἐρύσσαμεν εἰς ἅλα δῖαν,
the-ship indeed then first-of-all we-drew into the-sea bright
ἐν δ' ἱστὸν τιθέμεσθα καὶ ἱστία νηὶ μελαίνῃ,
in and the-mast we-put and sails in-the-ship black
ἐν δὲ τὰ μῆλα λαβόντες ἐβήσαμεν, ἂν δὲ καὶ αὐτοὶ
in and the flocks taking we-put-aboard up and also ourselves
βαίνομεν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες.
went grieving swelling down tear shedding
ἡμῖν δ' αὖ κατόπισθε νεὸς κυανοπρώροιο
for-us and in-turn behind the-ship dark-prowed
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
favorable fair-wind sent sail-filling good comrade
Κίρκη εὐπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
Circe fair-tressed dread goddess speaking-with-voice
ἡμεῖς δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
we and the-tackle each having-labored-at throughout the-ship
ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνε.
sat her and wind both helmsman and steered

τῆς δὲ πανημερίης τέταθ' ἱστία ποντοπορούσης·
of-her and all-day were-stretched the-sails crossing-the-sea
δύσετό τ' ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί.
set and the-sun were-darkened and all the-streets
" Ἣ δ' ἐς πείραθ' ἵκανε βαθυρρόου Ὠκεανοῖο.
She and to the-limits came of-deep-flowing Ocean
ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
there and of-the-Cimmerian men the-land both city and
ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
in-mist and cloud covered nor ever them
ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν,
the-sun shining looks-down-on with-rays
οὔθ' ὁπότ' ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
neither when — he-climbs to heaven starry
οὔθ' ὅτ' ἂν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται,
nor when — back to earth from heaven he-turns
ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.
but on night deadly is-stretched over-wretched mortals
νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν, ἐκ δὲ τὰ μῆλα
the-ship indeed there coming we-beached out and the flocks
εἱλόμεθ'· αὐτοὶ δ' αὖτε παρὰ ῥόον Ὠκεανοῖο
we-took ourselves and in-turn along the-stream of-Ocean
ᾖομεν, ὄφρ' ἐς χῶρον ἀφικόμεθ', ὃν φράσε Κίρκη.
went until to the-place we-came which pointed-out Circe
" Ἔνθ' ἱερήια μὲν Περιμήδης Εὐρύλοχός τε
There the-victims indeed Perimedes Eurylochus and
ἔσχον· ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
held I and sword sharp drawing from thigh
βόθρον ὄρυξ' ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,
a-pit dug as-much-as — a-cubit this-way and that-way

ἀμφ᾽ αὐτῷ δὲ χοὴν χεόμην πᾶσιν νεκύεσσι,
around it and a-libation I-poured to-all the-dead
πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέι οἴνῳ,
first with-honey-mixed afterward and with-sweet wine
τὸ τρίτον αὖθ᾽ ὕδατι· ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνον.
the third again with-water on and barley white I-sprinkled
πολλὰ δὲ γουνούμην νεκύων ἀμενηνὰ κάρηνα,
much and I-entreated of-the-dead the-strengthless heads
ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,
coming to Ithaca a-barren heifer which any best
ῥέξειν ἐν μεγάροισι πυρήν τ᾽ ἐμπλησέμεν ἐσθλῶν,
to-sacrifice in the-halls a-pyre and to-fill with-good-things
Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄιν ἱερευσέμεν οἴῳ
for-Teiresias and apart a-ram to-sacrifice alone
παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ἡμετέροισι.
all-black which among-the-flocks is-conspicuous our
τοὺς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν,
them and when with-vows with-prayers and the-tribes of-the-dead
ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
I-had-entreated the and flocks taking I-cut-the-throats
ἐς βόθρον, ῥέε δ᾽ αἷμα κελαινεφές· αἱ δ᾽ ἀγέροντο
into the-pit flowed and the-blood dark-clouded they and gathered
ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων.
souls from-under Erebus of-the-dead having-died
νύμφαι τ᾽ ἠίθεοί τε πολύτλητοί τε γέροντες
brides both youths and much-enduring and old-men
παρθενικαί τ᾽ ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι,
maidens and tender newly-grieving heart having
πολλοὶ δ᾽ οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,
many and wounded with-bronze-tipped spears

ἄνδρες ἀρηίφατοι βεβροτωμένα τεύχε᾽ ἔχοντες·
men slain-in-war bloodstained armor having
οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος
who many around the-pit went-to-and-fro from-elsewhere other
θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.
with-wondrous cry me and pale fear seized
δὴ τότ᾽ ἔπειθ᾽ ἑτάροισιν ἐποτρύνας ἐκέλευσα
indeed then then the-comrades urging I-bade
μῆλα, τὰ δὴ κατέκειτ᾽ ἐσφαγμένα νηλέι χαλκῷ,
the-flocks which indeed lay slaughtered with-pitiless bronze
δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,
having-flayed(-them) to-burn to-pray and to-the-gods
ἰφθίμῳ τ᾽ Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·
to-mighty both Hades and dread Persephone
αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
myself and sword sharp drawing from thigh
ἥμην, οὐδ᾽ εἴων νεκύων ἀμενηνὰ κάρηνα
sat nor let of-the-dead the-strengthless heads
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
the-blood nearer to-go before from-Teiresias to-learn
"Πρώτη δὲ ψυχὴ Ἐλπήνορος ἦλθεν ἑταίρου·
First and the-soul of-Elpenor came of-the-comrade
οὐ γάρ πω ἐτέθαπτο ὑπὸ χθονὸς εὐρυοδείης·
not for yet he-had-been-buried under the-earth broad-wayed
σῶμα γὰρ ἐν Κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς
the-body for in of-Circe the-hall we-left-behind we
ἄκλαυτον καὶ ἄθαπτον, ἐπεὶ πόνος ἄλλος ἔπειγε.
unwept and unburied since toil another pressed

τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ,
him indeed I wept seeing pitied and in-heart
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
and him having-spoken words winged I-addressed
"‘ Ἐλπῆνορ, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα;
Elpenor how did-you-come under the-gloom misty
ἔφθης πεζὸς ἰὼν ἢ ἐγὼ σὺν νηὶ μελαίνῃ.’
you-came-first on-foot going than I with ship black
"‘ Ὣς ἐφάμην, ὁ δέ μ’ οἰμώξας ἠμείβετο μύθῳ·
So I-spoke he and me groaning answered with-word
‘Διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
ἦσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος.
blinded me of-a-god the-fate evil and unspeakable wine
Κίρκης δ’ ἐν μεγάρῳ καταλέγμενος οὐκ ἐνόησα
of-Circe and in the-hall lying-down not I-thought
ἄψορρον καταβῆναι ἰὼν ἐς κλίμακα μακρήν,
back to-go-down going to the-ladder long
ἀλλὰ καταντικρὺ τέγεος πέσον· ἐκ δέ μοι αὐχὴν
but right-down from-the-roof I-fell out and my neck
ἀστραγάλων ἐάγη, ψυχὴ δ’ Ἄιδόσδε κατῆλθε.
from-the-vertebrae was-broken the-soul and to-Hades went-down
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων,
now and you by-those behind I-entreat not present
πρός τ’ ἀλόχου καὶ πατρός, ὅ σ’ ἔτρεφε τυτθὸν ἐόντα,
by both wife and father who you reared little being
Τηλεμάχου θ’, ὃν μοῦνον ἐνὶ μεγάροισιν ἔλειπες·
of-Telemachus and whom only in the-halls you-left

οἶδα γὰρ ὡς ἐνθένδε κιὼν δόμου ἐξ Ἀΐδαο
I-know for that from-here going the-house out-of of-Hades
νῆσον ἐς Αἰαίην σχήσεις ἐυεργέα νῆα·
the-island to Aeaean you-will-moor the-well-built ship
ἔνθα σ' ἔπειτα, ἄναξ, κέλομαι μνήσασθαι ἐμεῖο.
there you then lord I-bid to-remember me
μή μ' ἄκλαυτον ἄθαπτον ἰὼν ὄπιθεν καταλείπειν
not me unwept unburied going behind to-leave
νοσφισθείς, μή τοί τι θεῶν μήνιμα γένωμαι,
turning-away lest to-you some of-the-gods' wrath I-become
ἀλλά με κακκῆαι σὺν τεύχεσιν, ἅσσα μοι ἔστιν,
but me burn with armor whatever to-me is
σῆμά τέ μοι χεῦαι πολιῆς ἐπὶ θινὶ θαλάσσης,
a-mound and for-me heap gray on shore of-the-sea
ἀνδρὸς δυστήνοιο καὶ ἐσσομένοισι πυθέσθαι.
of-a-man wretched even for-those-to-come to-learn
ταῦτά τέ μοι τελέσαι πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμόν,
these-things and for-me accomplish fix and on the-barrow an-oar
τῷ καὶ ζωὸς ἔρεσσον ἐὼν μετ' ἐμοῖς ἑτάροισιν.'
with-which also alive I-rowed being with my comrades
"Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
'Ταῦτά τοι, ὦ δύστηνε, τελευτήσω τε καὶ ἔρξω.'
These-things to-you O wretched-one I-will-accomplish both and do
"Νῶι μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
We-two indeed so with-words exchanging hateful
ἥμεθ', ἐγὼ μὲν ἄνευθεν ἐφ' αἵματι φάσγανον ἴσχων,
sat I indeed apart over the-blood the-sword holding
εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευεν·
the-phantom and on-the-other-side of-the-comrade much spoke

“ Ἦλθε δ’ ἐπὶ ψυχὴ μητρὸς κατατεθνηυίης,
Came and on the-soul of-mother having-died
Αὐτολύκου θυγάτηρ μεγαλήτορος Ἀντίκλεια,
of-Autolycus daughter great-hearted Anticleia
τὴν ζωὴν κατέλειπον ἰὼν εἰς Ἴλιον ἱρήν.
whom alive I-left going to Ilion sacred
τὴν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ·
her indeed I wept seeing pitied and in-heart
ἀλλ’ οὐδ’ ὣς εἴων προτέρην, πυκινόν περ ἀχεύων,
but not-even so I-let(-her) first thickly though grieving
αἵματος ἆσσον ἴμεν, πρὶν Τειρεσίαο πυθέσθαι.
the-blood nearer to-go before from-Teiresias to-learn

XI.2 · TEIRESIAS’ PROMPHECY

Teiresias drank and foretold that Poseidon would make the return hard. If the men spared the cattle of Helios on Thrinacia, they might all reach home; if not, Odysseus would return late, alone, on another’s ship, and find suitors in his house. After killing them he must carry an oar inland until a man mistook it for a winnowing fan, sacrifice to Poseidon there, and at last die a gentle death from the sea in old age. Teiresias also told him how his mother could speak to him.

“ Ἦλθε δ’ ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο
Came and on the-soul of-Theban Teiresias
χρύσεον σκῆπτρον ἔχων, ἐμὲ δ’ ἔγνω καὶ προσέειπεν·
a-golden staff holding me and he-knew and addressed
‘Διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus

τίπτ᾽ αὖτ᾽, ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο
why in-turn O wretched-one leaving the-light of-the-sun
ἦλυθες, ὄφρα ἴδῃ νέκυας καὶ ἀτερπέα χῶρον;
have-you-come so-that you-may-see the-dead and the-joyless place
ἀλλ᾽ ἀποχάζεο βόθρου, ἄπισχε δὲ φάσγανον ὀξύ,
but draw-back from-the-pit hold-away and the-sword sharp
αἵματος ὄφρα πίω καί τοι νημερτέα εἴπω.᾽
of-the-blood so-that I-may-drink and to-you true-things I-may-tell
“ Ὣς φάτ᾽, ἐγὼ δ᾽ ἀναχασσάμενος ξίφος ἀργυρόηλον
So he-spoke I and drawing-back the-sword silver-studded
κουλεῷ ἐγκατέπηξ᾽. ὁ δ᾽ ἐπεὶ πίεν αἷμα κελαινόν,
into-the-scabbard thrust he and when he-had-drunk the-blood dark
καὶ τότε δή μ᾽ ἐπέεσσι προσηύδα μάντις ἀμύμων·
and then indeed me with-words addressed the-seer blameless
“‘Νόστον δίζηαι μελιηδέα, φαίδιμ᾽ Ὀδυσσεῦ·
Return you-seek honey-sweet glorious Odysseus
τὸν δέ τοι ἀργαλέον θήσει θεός· οὐ γὰρ ὀίω
it and for-you grievous will-make a-god not for I-think
λήσειν ἐννοσίγαιον, ὅ τοι κότον ἔνθετο θυμῷ
you-will-escape-the-notice-of the-earth-shaker who against-you wrath laid-up in-heart
χωόμενος ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσας.
angered that his son dear you-blinded
ἀλλ᾽ ἔτι μέν κε καὶ ὣς κακά περ πάσχοντες ἵκοισθε,
but still indeed — even so evils though suffering you-may-reach(-home)
αἴ κ᾽ ἐθέλῃς σὸν θυμὸν ἐρυκακέειν καὶ ἑταίρων,
if — you-are-willing your spirit to-restrain and of-the-comrades
ὁππότε κε πρῶτον πελάσῃς ἐυεργέα νῆα
when — first you-bring-near the-well-built ship
Θρινακίῃ νήσῳ, προφυγὼν ἰοειδέα πόντον,
to-Thrinacian island having-escaped the-violet-dark sea

βοσκομένας δ' εὕρητε βόας καὶ ἴφια μῆλα
grazing and you-find kine and fat flocks
Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.
of-Helios who all oversees and all overhears
τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
them if indeed — unharmed you-leave of-return and are-mindful
καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
even — still to Ithaca evils though suffering you-may-reach(-home)
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον,
if but — you-harm then for-you I-foretell destruction
νηί τε καὶ ἑτάροις. αὐτὸς δ' εἴ πέρ κεν ἀλύξῃς,
for-ship both and comrades yourself and if indeed — you-escape
ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους,
late evilly you-will-come having-lost — all comrades
νηὸς ἐπ' ἀλλοτρίης· δήεις δ' ἐν πήματα οἴκῳ,
ship on another's you-will-find and in sorrows the-house
ἄνδρας ὑπερφιάλους, οἵ τοι βίοτον κατέδουσι
men overbearing who your livelihood devour
μνώμενοι ἀντιθέην ἄλοχον καὶ ἕδνα διδόντες.
wooing godlike wife and wedding-gifts giving
ἀλλ' ἦ τοι κείνων γε βίας ἀποτίσεαι ἐλθών·
but truly indeed of-them indeed the-violence you-will-avenge coming
αὐτὰρ ἐπὴν μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσι
but when the-suitors in halls your
κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδὸν ὀξέι χαλκῷ,
you-kill either by-guile or openly with-sharp bronze
ἔρχεσθαι δὴ ἔπειτα λαβὼν ἐυῆρες ἐρετμόν,
to-go indeed then taking a-well-fitted oar

εἰς ὅ κε τοὺς ἀφίκηαι οἳ οὐκ ἴσασι θάλασσαν
until (the-time)-when — those you-reach who not know the-sea
ἀνέρες, οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
men nor — with-salt mixed food eat
οὐδ' ἄρα τοί γ' ἴσασι νέας φοινικοπαρῄους
nor then they indeed know ships red-cheeked
οὐδ' ἐυήρε' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
nor well-fitted oars which — wings for-ships are
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει·
a-sign and to-you I-will-tell very clear nor you it-will-escape
ὁππότε κεν δή τοι συμβλήμενος ἄλλος ὁδίτης
when — indeed you meeting another wayfarer
φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
says a-winnowing-fan you-have on glorious shoulder
καὶ τότε δὴ γαίῃ πήξας ἐυῆρες ἐρετμόν,
and then indeed in-the-earth fixing the-well-fitted oar
ῥέξας ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
offering sacrifices fair to-Poseidon lord
ἀρνειὸν ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον,
a-ram a-bull both of-swine and mounting boar
οἴκαδ' ἀποστείχειν ἔρδειν θ' ἱερὰς ἑκατόμβας
home to-go-away to-offer and sacred hecatombs
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
to-immortal gods who heaven broad hold

πᾶσι μάλ' ἐξείης. θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ
to-all very in-order death and to-you from the-sea yourself
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ σε πέφνῃ
gentle very such will-come which — you shall-slay
γήραι ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
by-old-age under comfortable overcome around and the-people
ὄλβιοι ἔσσονται. τὰ δέ τοι νημερτέα εἴρω.'
happy will-be these-things and to-you true-things I-tell
" Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
'Τειρεσίη, τὰ μὲν ἄρ που ἐπέκλωσαν θεοὶ αὐτοί.
Teiresias these-things indeed then surely spun the-gods themselves
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
but come to-me this tell and truly recount
μητρὸς τήνδ' ὁρόω ψυχὴν κατατεθνηυίης·
of-mother this I-see the-soul having-died
ἡ δ' ἀκέουσ' ἧσται σχεδὸν αἵματος, οὐδ' ἐὸν υἱὸν
she and silent sits near the-blood nor her-own son
ἔτλη ἐσάντα ἰδεῖν οὐδὲ προτιμυθήσασθαι.
dared face-to-face to-look-at nor to-speak-to
εἰπέ, ἄναξ, πῶς κέν με ἀναγνοίη τὸν ἐόντα;'
tell lord how — me may-she-recognize the being
" Ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπεν·
So I-spoke he and me at-once answering addressed
'Ῥηίδιόν τοι ἔπος ἐρέω καὶ ἐπὶ φρεσὶ θήσω.
Easy to-you word I-will-tell and in mind will-put

ὅν τινα μέν κεν ἐᾷς νεκύων κατατεθνηώτων
whom any indeed — you-allow of-the-dead having-died
αἵματος ἆσσον ἴμεν, ὁ δέ τοι νημερτὲς ἐνίψει·
the-blood nearer to-go he and to-you truly will-tell
ᾧ δέ κ' ἐπιφθονέῃς, ὁ δέ τοι πάλιν εἶσιν ὀπίσσω.'
to-whom and — you-begrudge(-it) he and to-you back will-go behind
" Ὣς φαμένη ψυχὴ μὲν ἔβη δόμον Ἄιδος εἴσω
So speaking the-soul indeed went the-house of-Hades into
Τειρεσίαο ἄνακτος, ἐπεὶ κατὰ θέσφατ' ἔλεξεν·
of-Teiresias lord when down prophecies he-had-spoken
αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, ὄφρ' ἐπὶ μήτηρ
but I there stayed steadfast until on mother
ἦλυθε καὶ πίεν αἷμα κελαινεφές· αὐτίκα δ' ἔγνω,
came and drank the-blood dark-clouded at-once and she-knew(-me)
καί μ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
and me lamenting words winged addressed

XI.3 · ANTICLEIA

Anticleia asked how her son had come alive among the dead. He asked how she died and about his family. She told him that Penelope waits faithfully, Telemachus holds his estates, and Laertes lives in misery in the country. She died of longing for him. Three times he tried to embrace her, and three times she slipped away like a shadow; she explained that this is the way of the dead.

"'Τέκνον ἐμόν, πῶς ἦλθες ὑπὸ ζόφον ἠερόεντα
Child my how did-you-come under the-gloom misty
ζωὸς ἐών; χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι.
alive being hard and these-things for-the-living to-see
μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
in-the-middle for great rivers and dread streams

Ὠκεανὸς μὲν πρῶτα, τὸν οὔ πως ἔστι περῆσαι
Ocean indeed first which not in-any-way it-is-possible to-cross
πεζὸν ἐόντ', ἢν μή τις ἔχῃ ἐυεργέα νῆα.
on-foot being if not one has a-well-built ship
ἦ νῦν δὴ Τροίηθεν ἀλώμενος ἐνθάδ' ἱκάνεις
truly now indeed from-Troy wandering here do-you-come
νηί τε καὶ ἑτάροισι πολὺν χρόνον; οὐδέ πω ἦλθες
with-ship both and comrades much time nor yet did-you-come
εἰς Ἰθάκην, οὐδ' εἶδες ἐνὶ μεγάροισι γυναῖκα;'
to Ithaca nor did-you-see in the-halls (your)-wife
" Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So she-spoke but I her answering addressed
'Μῆτερ ἐμή, χρειώ με κατήγαγεν εἰς Ἀίδαο
Mother my need me brought-down to Hades
ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο·
the-soul to-consult of-Theban Teiresias
οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιίδος, οὐδέ πω ἁμῆς
not for yet near I-came of-the-Achaean(-land) nor yet our
γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχων ἀλάλημαι ὀιζύν,
land I-set-foot-on but always having I-wander misery
ἐξ οὗ τὰ πρώτισθ' ἑπόμην Ἀγαμέμνονι δίῳ
from when the first I-followed Agamemnon noble
Ἴλιον εἰς εὐπωλον, ἵνα Τρώεσσι μαχοίμην.
Ilion to of-fine-horses so-that with-the-Trojans I-might-fight
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
but come to-me this tell and truly recount
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
what now you fate subdued of-grievous death

ἦ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα
whether long sickness or Artemis arrow-pouring
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν;
with-her gentle arrows assailing slew(-you)
εἰπὲ δέ μοι πατρός τε καὶ υἱέος, ὃν κατέλειπον,
tell and to-me of-father both and of-son whom I-left
ἢ ἔτι πὰρ κείνοισιν ἐμὸν γέρας, ἦέ τις ἤδη
whether still with them my honor or anyone already
ἀνδρῶν ἄλλος ἔχει, ἐμὲ δ' οὐκέτι φασὶ νέεσθαι.
of-men other has(-it) me and no-longer they-say to-return
εἰπὲ δέ μοι μνηστῆς ἀλόχου βουλήν τε νόον τε,
tell and to-me of-wedded wife the-counsel both mind and
ἠὲ μένει παρὰ παιδὶ καὶ ἔμπεδα πάντα φυλάσσει
whether she-stays with the-child and steadfast all guards
ἦ ἤδη μιν ἔγημεν Ἀχαιῶν ὅς τις ἄριστος.'
or already her has-married of-the-Achaeans who any best
"Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο πότνια μήτηρ·
So I-spoke she and at-once answered queenly mother
'Καὶ λίην κείνη γε μένει τετληότι θυμῷ
Yes surely she indeed stays with-enduring heart
σοῖσιν ἐνὶ μεγάροισιν· ὀιζυραὶ δέ οἱ αἰεὶ
your in halls woeful and for-her always
φθίνουσιν νύκτες τε καὶ ἤματα δάκρυ χεούσῃ.
waste-away nights both and days tear shedding
σὸν δ' οὔ πώ τις ἔχει καλὸν γέρας, ἀλλὰ ἔκηλος
your and not yet any has fair honor but at-ease
Τηλέμαχος τεμένεα νέμεται καὶ δαῖτας ἐίσας
Telemachus the-estates tends and feasts equal
δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν·
feasts which it-befits a-judgment-giving man to-attend-to

πάντες γὰρ καλέουσι. πατὴρ δὲ σὸς αὐτόθι μίμνει
all for invite(-him) father and your there stays
ἀγρῷ, οὐδὲ πόλινδε κατέρχεται. οὐδέ οἱ εὐναὶ
in-the-country nor to-the-city comes-down nor for-him beds
δέμνια καὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα,
bedsteads and cloaks and blankets glittering
ἀλλ᾽ ὅ γε χεῖμα μὲν εὕδει ὅθι δμῶες ἐνὶ οἴκῳ,
but he indeed in-winter indeed sleeps where the-servants in the-house
ἐν κόνι ἄγχι πυρός, κακὰ δὲ χροῒ εἵματα εἶται·
in dust near the-fire evil and on-skin clothes he-wears
αὐτὰρ ἐπὴν ἔλθῃσι θέρος τεθαλυῖά τ᾽ ὀπώρη,
but when comes summer flourishing and autumn
πάντῃ οἱ κατὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο
everywhere for-him over the-slope of-the-plot of-vineyard
φύλλων κεκλιμένων χθαμαλαὶ βεβλήαται εὐναί.
of-leaves fallen low are-strewn beds
ἔνθ᾽ ὅ γε κεῖτ᾽ ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει
there he indeed lies grieving great and in-mind sorrow he-nurses
σὸν νόστον ποθέων, χαλεπὸν δ᾽ ἐπὶ γῆρας ἱκάνει.
your return longing-for hard and on old-age comes
οὕτω γὰρ καὶ ἐγὼν ὀλόμην καὶ πότμον ἐπέσπον·
so for also I perished and fate met
οὔτ᾽ ἐμέ γ᾽ ἐν μεγάροισιν ἑὺσκοπος ἰοχέαιρα
neither me indeed in halls the-keen-sighted arrow-pourer
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχομένη κατέπεφνεν,
with-her gentle arrows assailing slew
οὔτε τις οὖν μοι νοῦσος ἐπήλυθεν, ἥ τε μάλιστα
nor any then to-me sickness came which — most
τηκεδόνι στυγερῇ μελέων ἐξείλετο θυμόν·
by-wasting hateful from-limbs takes-away the-spirit

ἀλλά με σός τε πόθος σά τε μήδεα, φαίδιμ᾽ Ὀδυσσεῦ,
but me your both longing your and counsels glorious Odysseus
σή τ᾽ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηύρα.᾽
your and gentleness honey-sweet spirit took-away
“ Ὣς ἔφατ᾽, αὐτὰρ ἐγώ γ᾽ ἔθελον φρεσὶ μερμηρίξας
So she-spoke but I indeed wished in-mind pondering
μητρὸς ἐμῆς ψυχὴν ἐλέειν κατατεθνηυίης.
of-mother my the-soul to-clasp having-died
τρὶς μὲν ἐφωρμήθην, ἐλέειν τέ με θυμὸς ἀνώγει,
thrice indeed I-rushed to-clasp(-her) and me heart bade
τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον ἢ καὶ ὀνείρῳ
thrice and to-me from hands to-a-shadow like or even to-a-dream
ἔπτατ᾽. ἐμοὶ δ᾽ ἄχος ὀξὺ γενέσκετο κηρόθι μᾶλλον,
she-flew to-me and grief sharp became in-heart more
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
and her having-spoken words winged I-addressed
“‘Μῆτερ ἐμή, τί νύ μ᾽ οὐ μίμνεις ἐλέειν μεμαῶτα,
Mother my why now me not do-you-wait to-clasp eager
ὄφρα καὶ εἰν Ἀίδαο φίλας περὶ χεῖρε βαλόντε
so-that even in Hades dear around hands throwing
ἀμφοτέρω κρυεροῖο τεταρπώμεσθα γόοιο;
both of-chill we-may-take-our-fill of-lament
ἦ τί μοι εἴδωλον τόδ᾽ ἀγαυὴ Περσεφόνεια
or some to-me phantom this lordly Persephone
ὤτρυν᾽, ὄφρ᾽ ἔτι μᾶλλον ὀδυρόμενος στεναχίζω;᾽
sent so-that still more lamenting I-may-groan
“ Ὣς ἐφάμην, ἡ δ᾽ αὐτίκ᾽ ἀμείβετο πότνια μήτηρ·
So I-spoke she and at-once answered queenly mother
‘ ῾Ὦ μοι, τέκνον ἐμόν, περὶ πάντων κάμμορε φωτῶν,
Ah me child my beyond all ill-fated of-men

οὔ τί σε Περσεφόνεια Διὸς θυγάτηρ ἀπαφίσκει,
not at-all you Persephone of-Zeus daughter deceives
ἀλλ᾽ αὕτη δίκη ἐστὶ βροτῶν, ὅτε τίς κε θάνῃσιν·
but this the-way is of-mortals when any — dies
οὐ γὰρ ἔτι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσιν,
not for longer flesh both and bones sinews hold
ἀλλὰ τὰ μέν τε πυρὸς κρατερὸν μένος αἰθομένοιο
but these indeed — of-fire the-strong might blazing
δαμνᾷ, ἐπεί κε πρῶτα λίπῃ λεύκ᾽ ὀστέα θυμός,
subdues when — first leaves the-white bones the-spirit
ψυχὴ δ᾽ ἠύτ᾽ ὄνειρος ἀποπταμένη πεπότηται.
the-soul and like a-dream flying-away flutters
ἀλλὰ φόωσδε τάχιστα λιλαίεο· ταῦτα δὲ πάντα
but to-the-light quickly long these-things and all
ἴσθ᾽, ἵνα καὶ μετόπισθε τεῇ εἴπῃσθα γυναικί.᾽
know so-that also hereafter to-your you-may-tell wife

XI.4 · THE HEROINES

Persephone sent the wives and daughters of heroes, and Odysseus questioned each in turn: Tyro, loved by Poseidon; Antiope; Alcmene and Megara; Epicaste, who married her son Oedipus; Chloris; Leda; Iphimedeia, mother of the giants; Phaedra, Procris, Ariadne, Maera, Clymene, and Eriphyle. He broke off, saying it was time to sleep.

“Νῶι μὲν ὣς ἐπέεσσιν ἀμειβόμεθ᾽, αἱ δὲ γυναῖκες
We-two indeed thus with-words exchanged the and women
ἤλυθον, ὤτρυνεν γὰρ ἀγαυὴ Περσεφόνεια,
came urged for lordly Persephone
ὅσσαι ἀριστήων ἄλοχοι ἔσαν ἠδὲ θύγατρες.
as-many-as of-the-chieftains wives were and daughters

αἱ δ' ἀμφ' αἷμα κελαινὸν ἀολλέες ἠγερέθοντο,
they and around the-blood dark in-a-body gathered
αὐτὰρ ἐγὼ βούλευον ὅπως ἐρέοιμι ἑκάστην.
but I planned how I-might-question each
ἤδε δέ μοι κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
this and to-me in heart best appeared the-plan
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ
having-drawn long-edged sword stout from thigh
οὐκ εἴων πίνειν ἅμα πάσας αἷμα κελαινόν.
not I-let(-them) drink together all the-blood dark
αἱ δὲ προμνηστῖναι ἐπήισαν, ἠδὲ ἑκάστη
they and one-after-another came-up and each
ὃν γόνον ἐξαγόρευεν· ἐγὼ δ' ἐρέεινον ἁπάσας.
her-own lineage declared I and questioned all
"Ἔνθ' ἣ τοι πρώτην Τυρὼ ἴδον εὐπατέρειαν,
Then truly indeed first Tyro I-saw nobly-born
ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι,
who said of-Salmoneus blameless the-offspring to-be
φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο·
said and of-Cretheus wife to-be son-of-Aeolus
ἣ ποταμοῦ ἠράσσατ' Ἐνιπῆος θείοιο,
who the-river loved Enipeus divine
ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησι,
who by-far fairest of-rivers over earth sends(-his-stream)
καί ῥ' ἐπ' Ἐνιπῆος πωλέσκετο καλὰ ῥέεθρα.
and then by Enipeus she-would-haunt the-fair streams
τῷ δ' ἄρα εἰσάμενος γαιήοχος ἐννοσίγαιος
to-him and then likening(-himself) the-earth-holder earth-shaker
ἐν προχοῇς ποταμοῦ παρελέξατο δινήεντος·
in the-mouth of-the-river lay-with(-her) eddying

πορφύρεον δ' ἄρα κῦμα περιστάθη, οὔρεϊ ἶσον,
purple and then a-wave stood-around to-a-mountain equal
κυρτωθέν, κρύψεν δὲ θεὸν θνητήν τε γυναῖκα.
arched hid and the-god mortal and woman
λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευεν.
loosed and the-maiden girdle down and sleep poured
αὐτὰρ ἐπεί ῥ' ἐτέλεσσε θεὸς φιλοτήσια ἔργα,
but when then he-had-accomplished the-god love works
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
in — then her he-clung to-hand word and spoke out and named(-her)
"'Χαῖρε, γύναι, φιλότητι· περιπλομένου δ' ἐνιαυτοῦ
Rejoice woman in-the-love revolving and the-year
τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ
you-will-bear glorious children since not vain the-embraces
ἀθανάτων· σὺ δὲ τοὺς κομέειν ἀτιταλλέμεναί τε.
of-immortals you and them to-tend to-nurture and
νῦν δ' ἔρχευ πρὸς δῶμα, καὶ ἴσχεο μηδ' ὀνομήνῃς·
now and go to the-house and hold-yourself-in nor name(-me)
αὐτὰρ ἐγώ τοί εἰμι Ποσειδάων ἐνοσίχθων.'
but I to-you am Poseidon earth-shaker
" Ὣς εἰπὼν ὑπὸ πόντον ἐδύσετο κυμαίνοντα.
So having-spoken under the-sea he-plunged billowing
ἡ δ' ὑποκυσαμένη Πελίην τέκε καὶ Νηλῆα,
she and conceiving Pelias bore and Neleus
τὼ κρατερὼ θεράποντε Διὸς μεγάλοιο γενέσθην
who strong servants of-Zeus great became
ἀμφοτέρω· Πελίης μὲν ἐν εὐρυχόρῳ Ἰαωλκῷ
both Pelias indeed in spacious Iolcus
ναῖε πολύρρηνος, ὁ δ' ἄρ' ἐν Πύλῳ ἠμαθόεντι.
dwelt rich-in-sheep he and then in Pylos sandy

τοὺς δ' ἑτέρους Κρηθῆι τέκεν βασίλεια γυναικῶν,
the and other(-sons) to-Cretheus bore the-queen among-women
Αἴσονά τ' ἠδὲ Φέρητ' Ἀμυθάονά θ' ἱπποχάρμην.
Aeson both and Pheres Amythaon and fighting-from-chariots
"Τὴν δὲ μετ' Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα,
Her and after Antiope I-saw of-Asopus daughter
ἣ δὴ καὶ Διὸς εὔχετ' ἐν ἀγκοίνῃσιν ἰαῦσαι,
who indeed also of-Zeus boasted in arms to-have-slept
καί ῥ' ἔτεκεν δύο παῖδ', Ἀμφίονά τε Ζῆθόν τε,
and then bore two sons Amphion both Zethus and
οἳ πρῶτοι Θήβης ἕδος ἔκτισαν ἑπταπύλοιο,
who first of-Thebes the-seat founded seven-gated
πύργωσάν τ', ἐπεὶ οὐ μὲν ἀπύργωτόν γ' ἐδύναντο
fortified(-it) and since not indeed unwalled indeed they-were-able
ναιέμεν εὐρύχορον Θήβην, κρατερώ περ ἐόντε.
to-dwell-in spacious Thebes strong though being
"Τὴν δὲ μετ' Ἀλκμήνην ἴδον, Ἀμφιτρύωνος ἄκοιτιν,
Her and after Alcmene I-saw of-Amphitryon the-wife
ἥ ῥ' Ἡρακλῆα θρασυμέμνονα θυμολέοντα
who then Heracles bold lion-hearted
γείνατ' ἐν ἀγκοίνῃσι Διὸς μεγάλοιο μιγεῖσα·
bore in arms of-Zeus great having-lain-with
καὶ Μεγάρην, Κρείοντος ὑπερθύμοιο θύγατρα,
and Megara of-Creon high-spirited daughter
τὴν ἔχεν Ἀμφιτρύωνος υἱὸς μένος αἰὲν ἀτειρής.
whom had of-Amphitryon son in-strength ever untiring

“Μητέρα τ’ Οἰδιπόδαο ἴδον, καλὴν Ἐπικάστην,
The-mother and of-Oedipus I-saw fair Epicaste
ἣ μέγα ἔργον ἔρεξεν ἀιδρείῃσι νόοιο
who great deed did in-ignorance of-mind
γημαμένη ᾧ υἷι· ὁ δ’ ὃν πατέρ’ ἐξεναρίξας
having-married her-own son he and his-own father having-slain
γῆμεν· ἄφαρ δ’ ἀνάπυστα θεοὶ θέσαν ἀνθρώποισιν.
married(-her) straightway and known the-gods made(-it) to-men
ἀλλ’ ὁ μὲν ἐν Θήβῃ πολυηράτῳ ἄλγεα πάσχων
but he indeed in Thebes lovely pains suffering
Καδμείων ἤνασσε θεῶν ὀλοὰς διὰ βουλάς·
over-the-Cadmeans ruled of-the-gods deadly through the-counsels
ἡ δ’ ἔβη εἰς Ἀίδαο πυλάρταο κρατεροῖο,
she and went to of-Hades the-gatekeeper strong
ἁψαμένη βρόχον αἰπὺν ἀφ’ ὑψηλοῖο μελάθρου,
having-fastened a-noose sheer from lofty roof-beam
ᾧ ἄχεϊ σχομένη· τῷ δ’ ἄλγεα κάλλιπ’ ὀπίσσω
by-her-own grief held to-him and pains she-left behind
πολλὰ μάλ’, ὅσσα τε μητρὸς Ἐρινύες ἐκτελέουσιν.
many very as-many-as — of-a-mother the-Erinyes accomplish
“Καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺς
And Chloris I-saw very-fair whom once Neleus
γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα,
married her for beauty since he-gave countless wedding-gifts
ὁπλοτάτην κούρην Ἀμφίονος Ἰασίδαο,
youngest daughter of-Amphion son-of-Iasus
ὅς ποτ’ ἐν Ὀρχομενῷ Μινυείῳ ἶφι ἄνασσεν·
who once in Orchomenus Minyan mightily ruled
ἡ δὲ Πύλου βασίλευε, τέκεν δέ οἱ ἀγλαὰ τέκνα,
she and of-Pylos was-queen bore and to-him glorious children

Νέστορά τε Χρομίον τε Περικλύμενόν τ' ἀγέρωχον.
Nestor both Chromius and Periclymenus and proud
τοῖσι δ' ἐπ' ἰφθίμην Πηρὼ τέκε, θαῦμα βροτοῖσι,
to-them and besides stately Pero she-bore a-wonder to-mortals
τὴν πάντες μνώοντο περικτίται· οὐδ' ἄρα Νηλεὺς
whom all wooed the-neighbors nor then Neleus
τῷ ἐδίδου ὃς μὴ ἕλικας βόας εὐρυμετώπους
to-him would-give(-her) who not the-crooked-horned cattle broad-browed
ἐκ Φυλάκης ἐλάσειε βίης Ἰφικληείης
from Phylace should-drive of-the-might of-Iphicles
ἀργαλέας· τὰς δ' οἶος ὑπέσχετο μάντις ἀμύμων
grievous(-cattle) them and alone promised the-seer blameless
ἐξελάαν· χαλεπὴ δὲ θεοῦ κατὰ μοῖρα πέδησε,
to-drive-off hard and of-a-god down fate fettered(-him)
δεσμοί τ' ἀργαλέοι καὶ βουκόλοι ἀγροιῶται.
bonds and grievous and herdsmen rustic
ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο
but when indeed months both and days were-being-accomplished
ἂψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
back revolving the-year and came-on the-seasons
καὶ τότε δή μιν ἔλυσε βίη Ἰφικληείη,
and then indeed him released the-might of-Iphicles
θέσφατα πάντ' εἰπόντα· Διὸς δ' ἐτελείετο βουλή.
oracles all having-spoken of-Zeus and was-accomplished the-counsel
"Καὶ Λήδην εἶδον, τὴν Τυνδαρέου παράκοιτιν,
And Leda I-saw the of-Tyndareus wife
ἥ ῥ' ὑπὸ Τυνδαρέῳ κρατερόφρονε γείνατο παῖδε,
who then to Tyndareus strong-minded bore two-sons
Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
Castor and horse-taming and in-boxing good Polydeuces

τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα·
them both alive holds life-giving earth
οἳ καὶ νέρθεν γῆς τιμὴν πρὸς Ζηνὸς ἔχοντες
who even beneath earth honor from Zeus having
ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
at-times indeed live on-alternate-days at-times and in-turn
τεθνᾶσιν· τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι.
are-dead honor and have-obtained equal to-gods
Τὴν δὲ μετ' Ἰφιμέδειαν, Ἀλωῆος παράκοιτιν
Her and after Iphimedeia of-Aloeus the-wife
εἶσιδον, ἣ δὴ φάσκε Ποσειδάωνι μιγῆναι,
I-saw who indeed said with-Poseidon to-have-lain
καί ῥ' ἔτεκεν δύο παῖδε, μινυνθαδίω δ' ἐγενέσθην,
and then bore two sons short-lived and they-were
Ὦτόν τ' ἀντίθεον τηλεκλειτόν τ' Ἐφιάλτην,
Otus both godlike far-famed and Ephialtes
οὓς δὴ μηκίστους θρέψε ζείδωρος ἄρουρα
whom indeed tallest nourished grain-giving earth
καὶ πολὺ καλλίστους μετά γε κλυτὸν Ὠρίωνα·
and by-far fairest after indeed famous Orion
ἐννέωροι γὰρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν
nine-years-old for they indeed and nine-cubits were
εὖρος, ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι.
in-breadth but in-height indeed they-were nine-fathoms
οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην ἐν Ὀλύμπῳ
who then even the-immortals threatened in Olympus
φυλόπιδα στήσειν πολυάικος πολέμοιο.
the-din to-set-up of-furious war

Ὄσσαν ἐπ᾽ Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ᾽ Ὄσσῃ
Ossa on Olympus they-were-eager to-set but on Ossa
Πήλιον εἰνοσίφυλλον, ἵν᾽ οὐρανὸς ἀμβατὸς εἴη.
Pelion leaf-quivering so-that heaven scalable might-be
καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο·
and now — they-would-have-accomplished(-it) if of-youth the-measure they-had-reached
ἀλλ᾽ ὄλεσεν Διὸς υἱός, ὃν ἠύκομος τέκε Λητώ,
but slew(-them) of-Zeus the-son whom fair-haired bore Leto
ἀμφοτέρω, πρίν σφωιν ὑπὸ κροτάφοισιν ἰούλους
both before for-the-two under temples the-down
ἀνθῆσαι πυκάσαι τε γένυς ἐυανθέι λάχνῃ.
to-bloom to-cover and chins with-flowering beard
"Φαίδρην τε Πρόκριν τε ἴδον καλήν τ᾽ Ἀριάδνην,
Phaedra both Procris and I-saw fair and Ariadne
κούρην Μίνωος ὀλοόφρονος, ἥν ποτε Θησεὺς
daughter of-Minos baleful whom once Theseus
ἐκ Κρήτης ἐς γουνὸν Ἀθηνάων ἱεράων
from Crete to the-hill of-Athens sacred
ἦγε μέν, οὐδ᾽ ἀπόνητο· πάρος δέ μιν Ἄρτεμις ἔκτα
was-leading indeed not he-had-joy before and her Artemis slew
Δίῃ ἐν ἀμφιρύτῃ Διονύσου μαρτυρίῃσιν.
Dia in sea-girt of-Dionysus at-the-witness
"Μαῖράν τε Κλυμένην τε ἴδον στυγερήν τ᾽ Ἐριφύλην,
Maera both Clymene and I-saw hateful and Eriphyle
ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα.
who gold for-her-dear husband accepted precious
πάσας δ᾽ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ᾽ ὀνομήνω,
all but not — I will-tell nor name
ὅσσας ἡρώων ἀλόχους ἴδον ἠδὲ θύγατρας·
as-many of-heroes wives I-saw and daughters

πρὶν γάρ κεν καὶ νὺξ φθῖτ' ἄμβροτος. ἀλλὰ καὶ ὥρη
before for — even night would-waste immortal but also time
εὕδειν, ἢ ἐπὶ νῆα θοὴν ἐλθόντ' ἐς ἑταίρους
to-sleep either to the-ship swift going to the-comrades
ἢ αὐτοῦ· πομπὴ δὲ θεοῖς ὑμῖν τε μελήσει."
or here the-escort and to-the-gods to-you and will-be-of-concern

XI.5 · THE INTERMEZZO

The Phaeacians sit spellbound. Arete praises the stranger and asks for more gifts, and old Echeneus agrees. Alcinous promises to send him home the next day and says that Odysseus speaks like a minstrel, not a cheat. He asks whether Odysseus met any of his comrades from Troy among the dead. Odysseus agrees to tell of them.

Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
So he-spoke they and then all silent became in-silence
κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα.
in-the-spell and they-were-held throughout the-halls shadowy
τοῖσιν δ' Ἀρήτη λευκώλενος ἤρχετο μύθων·
to-them and Arete white-armed began of-speeches
"Φαίηκες, πῶς ὔμμιν ἀνὴρ ὅδε φαίνεται εἶναι
Phaeacians how to-you man this appears to-be
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐίσας;
in-form both stature and and wits within balanced
ξεῖνος δ' αὖτ' ἐμός ἐστιν, ἕκαστος δ' ἔμμορε τιμῆς·
guest-friend and in-turn my he-is each and shares the-honor

τῷ μὴ ἐπειγόμενοι ἀποπέμπετε, μηδὲ τὰ δῶρα
therefore not hastening send(-him)-away nor the gifts
οὕτω χρηίζοντι κολούετε· πολλὰ γὰρ ὑμῖν
thus to-one-in-need cut-short many for for-you
κτήματ' ἐνὶ μεγάροισι θεῶν ἰότητι κέονται."
possessions in the-halls by-the-gods' will lie
Τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἐχένηος,
To-them and also spoke-among old hero Echeneus
ὃς δὴ Φαιήκων ἀνδρῶν προγενέστερος ἦεν·
who indeed of-the-Phaeacian men older was
"Ὦ φίλοι, οὐ μὰν ἥμιν ἀπὸ σκοποῦ οὐδ' ἀπὸ δόξης
O friends not indeed to-us from the-mark nor from expectation
μυθεῖται βασίλεια περίφρων· ἀλλὰ πίθεσθε.
speaks the-queen wise but obey(-her)
Ἀλκινόου δ' ἐκ τοῦδ' ἔχεται ἔργον τε ἔπος τε."
of-Alcinous and on this depends deed both word and
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Alcinous answered spoke and
"Τοῦτο μὲν οὕτω δὴ ἔσται ἔπος, αἴ κεν ἐγώ γε
This indeed so indeed shall-be word if — I indeed
ζωὸς Φαιήκεσσι φιληρέτμοισιν ἀνάσσω·
alive over-the-Phaeacians oar-loving rule
ξεῖνος δὲ τλήτω μάλα περ νόστοιο χατίζων
the-stranger but let-endure very though for-return longing
ἔμπης οὖν ἐπιμεῖναι ἐς αὔριον, εἰς ὅ κε πᾶσαν
nevertheless then to-stay till tomorrow until (the-time)-when — all
δωτίνην τελέσω. πομπὴ δ' ἄνδρεσσι μελήσει
the-gift I-accomplish the-escort and to-men will-be-of-concern
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ δήμῳ."
to-all most and to-me mine for power is in the-land

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
" Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Alcinous lord of-all most-renowned of-peoples
εἴ με καὶ εἰς ἐνιαυτὸν ἀνώγοιτ' αὐτόθι μίμνειν,
if me even for a-year you-should-bid there to-stay
πομπὴν δ' ὀτρύνοιτε καὶ ἀγλαὰ δῶρα διδοῖτε,
escort and you-should-urge and glorious gifts you-should-give
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη,
even — this I-would-wish and — much more-profitable it-would-be
πλειοτέρῃ σὺν χειρὶ φίλην ἐς πατρίδ' ἱκέσθαι·
fuller with hand dear to native-land to-reach
καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴην
and — more-respected and dearer to-men I-would-be
πᾶσιν, ὅσοι μ' Ἰθάκηνδε ἰδοίατο νοστήσαντα."
to-all who me to-Ithaca should-see having-returned
Τὸν δ' αὖτ' Ἀλκίνοος ἀπαμείβετο φώνησέν τε·
Him and in-turn Alcinous answered spoke and
" Ὦ Ὀδυσεῦ, τὸ μὲν οὔ τί σ' εἴσκομεν εἰσορόωντες,
O Odysseus this indeed not at-all you we-liken looking-at(-you)
ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς
a-deceiver both to-be and a-cheat such-as — many
βόσκει γαῖα μέλαινα πολυσπερέας ἀνθρώπους,
breeds the-earth black widely-scattered men
ψεύδεά τ' ἀρτύνοντας ὅθεν κέ τις οὐδὲ ἴδοιτο·
lies and fashioning whence — anyone not-even could-see
σοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί.
on-you and is indeed grace of-words within and wits good
μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως κατέλεξας,
the-tale and as when a-minstrel skillfully you-have-recounted

πάντων τ' Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρά.
of-all both Argives your and own troubles woeful
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
εἴ τινας ἀντιθέων ἑτάρων ἴδες, οἵ τοι ἅμ' αὐτῷ
if any of-godlike comrades you-saw who you with yourself
Ἴλιον εἰς ἅμ' ἕποντο καὶ αὐτοῦ πότμον ἐπέσπον.
Ilion to with(-you) followed and there fate met
νὺξ δ' ἥδε μάλα μακρή, ἀθέσφατος· οὐδέ πω ὥρη
night and this very long unspeakable nor yet time
εὕδειν ἐν μεγάρῳ, σὺ δέ μοι λέγε θέσκελα ἔργα.
to-sleep in the-hall you and to-me tell wondrous deeds
καί κεν ἐς ἠῶ δῖαν ἀνασχοίμην, ὅτε μοι σὺ
even — to dawn bright I-could-endure when to-me you
τλαίης ἐν μεγάρῳ τὰ σὰ κήδεα μυθήσασθαι."
should-endure in the-hall the your troubles to-tell

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Him and answering addressed of-many-wiles Odysseus
" Ἀλκίνοε κρεῖον, πάντων ἀριδείκετε λαῶν,
Alcinous lord of-all most-renowned of-peoples
ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου·
a-time indeed for-many tales a-time and also for-sleep
εἰ δ' ἔτ' ἀκουέμεναί γε λιλαίεαι, οὐκ ἂν ἐγώ γε
if and still to-hear indeed you-long not — I indeed
τούτων σοι φθονέοιμι καὶ οἰκτρότερ' ἄλλ' ἀγορεύειν,
these-things you would-begrudge even more-piteous other-things to-speak
κήδε' ἐμῶν ἑτάρων, οἳ δὴ μετόπισθεν ὄλοντο,
the-troubles of-my comrades who indeed afterward perished

οἳ Τρώων μὲν ὑπεξέφυγον στονόεσσαν ἀυτήν,
who of-the-Trojans indeed escaped the-groaning battle-cry
ἐν νόστῳ δ' ἀπόλοντο κακῆς ἰότητι γυναικός.
in the-return but perished by-an-evil will of-a-woman

XI.6 · AGAMEMNON

The soul of Agamemnon came and wept. He told Odysseus how Aegisthus and Clytemnestra killed him and his men at a feast, and how Clytemnestra killed Cassandra and would not close his eyes. He warned Odysseus not to trust women, though Penelope is wise and will not murder him, and told him to land secretly. He asked after Orestes, but Odysseus had no news.

"Αὐτὰρ ἐπεὶ ψυχὰς μὲν ἀπεσκέδασ' ἄλλυδις ἄλλῃ
But when the-souls indeed had-scattered this-way that-way
ἁγνὴ Περσεφόνεια γυναικῶν θηλυτεράων,
holy Persephone of-women female
ἦλθε δ' ἐπὶ ψυχὴ Ἀγαμέμνονος Ἀτρεΐδαο
came and on the-soul of-Agamemnon son-of-Atreus
ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσοι ἅμ' αὐτῷ
grieving around and others were-gathered as-many-as with him
οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
the-house in of-Aegisthus died and fate met
ἔγνω δ' αἶψ' ἔμ', ἐκεῖνος, ἐπεὶ πίεν αἷμα κελαινόν·
he-knew and at-once me he when he-had-drunk the-blood dark
κλαῖε δ' ὅ γε λιγέως, θαλερὸν κατὰ δάκρυον εἴβων,
wept and he indeed shrilly swelling down tear shedding
πιτνὰς εἰς ἐμὲ χεῖρας, ὀρέξασθαι μενεαίνων·
spreading toward me hands to-reach eager

ἀλλ᾽ οὐ γάρ οἱ ἔτ᾽ ἦν ἶς ἔμπεδος οὐδέ τι κῖκυς,
but not for to-him longer was strength steadfast nor any power
οἵη περ πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι.
such-as indeed before used-to-be in supple limbs
395 “Τὸν μὲν ἐγὼ δάκρυσα ἰδὼν ἐλέησά τε θυμῷ,
Him indeed I wept seeing pitied and in-heart
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
and him having-spoken words winged I-addressed
‘Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Son-of-Atreus most-glorious lord of-men Agamemnon
τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο;
what now you fate subdued of-grievous death
ἦε σέ γ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
whether you indeed in ships Poseidon subdued
400 ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀυτμήν;
rousing of-grievous winds the-unenviable blast
ἦέ σ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου
or you hostile men harmed on land
βοῦς περιταμνόμενον ἠδ᾽ οἰῶν πώεα καλά,
cattle cutting-off and of-sheep flocks fair
ἠὲ περὶ πτόλιος μαχεούμενον ἠδὲ γυναικῶν;’
or about a-city fighting and women
“ Ὣς ἐφάμην, ὁ δέ μ᾽ αὐτίκ᾽ ἀμειβόμενος προσέειπε·
So I-spoke he and me at-once answering addressed
405 ‘Διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
οὔτ᾽ ἐμέ γ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν
neither me indeed in ships Poseidon subdued
ὄρσας ἀργαλέων ἀνέμων ἀμέγαρτον ἀυτμήν,
rousing of-grievous winds the-unenviable blast

οὔτε μ᾽ ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου,
nor me hostile men harmed on land
ἀλλά μοι Αἴγισθος τεύξας θάνατόν τε μόρον τε
but for-me Aegisthus having-wrought death both doom and
ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ, οἰκόνδε καλέσσας,
killed(-me) with accursed wife homeward having-called(-me)
δειπνίσσας, ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ.
having-feasted(-me) as one — kills an-ox at the-manger
ὣς θάνον οἰκτίστῳ θανάτῳ· περὶ δ᾽ ἄλλοι ἑταῖροι
so I-died by-most-piteous death around and other comrades
νωλεμέως κτείνοντο σύες ὣς ἀργιόδοντες,
unceasingly were-killed swine like white-tusked
οἵ ῥά τ᾽ ἐν ἀφνειοῦ ἀνδρὸς μέγα δυναμένοιο
which then — in of-a-rich man greatly being-powerful
ἢ γάμῳ ἢ ἐράνῳ ἢ εἰλαπίνῃ τεθαλυίῃ.
either at-a-wedding or a-shared-meal or a-feast abundant
ἤδη μὲν πολέων φόνῳ ἀνδρῶν ἀντεβόλησας,
already indeed of-many in-the-slaughter of-men you-have-been-present
μουνὰξ κτεινομένων καὶ ἐνὶ κρατερῇ ὑσμίνῃ·
singly being-killed and in mighty battle
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ὀλοφύραο θυμῷ,
but — those-things most seeing you-would-have-lamented in-heart
ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
how around the-mixing-bowl tables and laden
κείμεθ᾽ ἐνὶ μεγάρῳ, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
we-lay in the-hall the-floor and all with-blood ran
οἰκτροτάτην δ᾽ ἤκουσα ὄπα Πριάμοιο θυγατρός,
most-piteous and I-heard the-voice of-Priam's daughter

Κασσάνδρης, τὴν κτεῖνε Κλυταιμνήστρη δολόμητις
Cassandra whom killed Clytemnestra wily
ἀμφ᾽ ἐμοί, αὐτὰρ ἐγὼ ποτὶ γαίῃ χεῖρας ἀείρων
around me but I on the-ground hands lifting
βάλλον ἀποθνήσκων περὶ φασγάνῳ· ἡ δὲ κυνῶπις
threw(-them) dying around the-sword she and shameless
425 νοσφίσατ᾽, οὐδέ μοι ἔτλη ἰόντι περ εἰς Ἀΐδαο
turned-away nor for-me endured going though to Hades
χερσὶ κατ᾽ ὀφθαλμοὺς ἑλέειν σύν τε στόμ᾽ ἐρεῖσαι.
with-hands down eyes to-draw together and mouth to-close
ὣς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός,
so nothing more-dreadful and more-shameless other-thing than-a-woman
ἥ τις δὴ τοιαῦτα μετὰ φρεσὶν ἔργα βάληται·
who any indeed such in mind deeds puts
οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές,
such-as indeed also she devised a-deed unseemly
430 κουριδίῳ τεύξασα πόσει φόνον. ἦ τοι ἔφην γε
for-her-wedded having-wrought husband murder truly indeed I-thought indeed
ἀσπάσιος παίδεσσιν ἰδὲ δμώεσσιν ἐμοῖσιν
welcome to-children and to-servants my
οἴκαδ᾽ ἐλεύσεσθαι· ἡ δ᾽ ἔξοχα λυγρὰ ἰδυῖα
home to-come she but above-all woeful-things knowing
οἵ τε κατ᾽ αἶσχος ἔχευε καὶ ἐσσομένῃσιν ὀπίσσω
on-herself both down shame poured and on-those-to-come hereafter
θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ᾽ ἐυεργὸς ἔῃσιν.᾽
female women even who — well-doing may-be

" Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
' Ὤ πόποι, ἦ μάλα δὴ γόνον Ἀτρέος εὐρύοπα Ζεὺς
Oh for-shame truly very indeed the-race of-Atreus far-seeing Zeus
ἐκπάγλως ἤχθηρε γυναικείας διὰ βουλὰς
terribly has-hated womanly through counsels
ἐξ ἀρχῆς· Ἑλένης μὲν ἀπωλόμεθ' εἵνεκα πολλοί,
from the-beginning of-Helen indeed we-perished for-the-sake many
σοὶ δὲ Κλυταιμνήστρη δόλον ἤρτυε τηλόθ' ἐόντι.'
for-you and Clytemnestra a-trick prepared far-off being
" Ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπε·
So I-spoke he and me at-once answering addressed
'Τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι·
Therefore now not ever also you to-a-wife indeed gentle be
μή οἱ μῦθον ἅπαντα πιφαυσκέμεν, ὅν κ' ἐὺ εἰδῇς,
not to-her the-word all show which — well you-know
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ καὶ κεκρυμμένον εἶναι.
but the-one indeed tell the-other and also hidden to-be
ἀλλ' οὐ σοί γ', Ὀδυσεῦ, φόνος ἔσσεται ἔκ γε γυναικός·
but not to-you indeed Odysseus murder will-be from indeed a-wife
λίην γὰρ πινυτή τε καὶ εὖ φρεσὶ μήδεα οἶδε
exceedingly for prudent both and well in-mind counsels knows
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
daughter of-Icarius wise Penelope
ἦ μέν μιν νύμφην γε νέην κατελείπομεν ἡμεῖς
truly indeed her a-bride indeed young we-left we
ἐρχόμενοι πόλεμόνδε· πάις δέ οἱ ἦν ἐπὶ μαζῷ
going to-the-war a-child and her was at breast
νήπιος, ὅς που νῦν γε μετ' ἀνδρῶν ἵζει ἀριθμῷ,
an-infant who surely now indeed among men sits in-number

ὄλβιος· ἦ γὰρ τόν γε πατὴρ φίλος ὄψεται ἐλθών,
happy truly for him indeed father dear will-see coming
καὶ κεῖνος πατέρα προσπτύξεται, ἣ θέμις ἐστίν.
and he father will-embrace as right is
ἡ δ' ἐμὴ οὐδέ περ υἱος ἐνιπλησθῆναι ἄκοιτις
she but my not-even indeed with-son to-be-filled wife
ὀφθαλμοῖσιν ἔασε· πάρος δέ με πέφνε καὶ αὐτόν.
with-eyes let(-me) before and me she-slew also myself
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
another-thing and to-you I-will-tell you and in mind lay(-it) your
κρύβδην, μηδ' ἀναφανδά, φίλην ἐς πατρίδα γαῖαν
secretly not openly dear to native land
νῆα κατισχέμεναι· ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν.
the-ship to-bring-in since no-longer trustworthy-things in-women
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
but come to-me this tell and truly recount
εἴ που ἔτι ζώοντος ἀκούετε παιδὸς ἐμοῖο,
if somewhere still living you-hear-of child my
ἤ που ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ ἠμαθόεντι,
whether somewhere in Orchomenus or in Pylos sandy
ἤ που πὰρ Μενελάῳ ἐνὶ Σπάρτῃ εὐρείῃ·
or somewhere with Menelaus in Sparta broad
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀρέστης.'
not for yet has-died on earth noble Orestes
"Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
'Ἀτρεΐδη, τί με ταῦτα διείρεαι; οὐδέ τι οἶδα,
Son-of-Atreus why me these-things do-you-ask nor at-all do-I-know
ζώει ὅ γ' ἢ τέθνηκε· κακὸν δ' ἀνεμώλια βάζειν.'
lives he indeed or has-died bad and windy-things to-babble

Achilles came with Patroclus, Antilochus, and Ajax, and asked why Odysseus had come down to Hades. Odysseus called him blessed, a ruler among the dead. Achilles answered that he would rather be a hired laborer on earth than king of all the dead, and asked about his son and his father. Odysseus told of Neoptolemus' courage at Troy and in the wooden horse, and Achilles strode away across the asphodel meadow, glad.

"Νῶι μὲν ὣς ἐπέεσσιν ἀμειβομένω στυγεροῖσιν
We-two indeed thus with-words exchanging hateful
ἔσταμεν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες·
stood grieving swelling down tear shedding
ἦλθε δ' ἐπὶ ψυχὴ Πηληιάδεω Ἀχιλῆος
came and on the-soul of-Peleus'-son Achilles
καὶ Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο
and of-Patroclus and of-blameless Antilochus
Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
of-Ajax and who best was in-form both build and
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
of-the other Danaans after blameless son-of-Peleus
ἔγνω δὲ ψυχή με ποδώκεος Αἰακίδαο
knew and the-soul me of-the-swift-footed son-of-Aeacus
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
and then lamenting words winged addressed
"'Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
σχέτλιε, τίπτ' ἔτι μεῖζον ἐνὶ φρεσὶ μήσεαι ἔργον;
cruel why still greater in mind will-you-devise deed

πῶς ἔτλης Ἄιδόσδε κατελθέμεν, ἔνθα τε νεκροὶ
how did-you-dare to-Hades to-come-down where — the-dead
ἀφραδέες ναίουσι, βροτῶν εἴδωλα καμόντων;'
senseless dwell of-mortals phantoms worn-out
" Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed
' Ὦ Ἀχιλεῦ Πηλῆος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
O Achilles of-Peleus son greatly mightiest of-the-Achaeans
ἦλθον Τειρεσίαο κατὰ χρέος, εἴ τινα βουλὴν
I-came of-Teiresias for need if any counsel
εἴποι, ὅπως Ἰθάκην ἐς παιπαλόεσσαν ἱκοίμην·
he-might-tell how Ithaca to rugged I-might-reach
οὐ γάρ πω σχεδὸν ἦλθον Ἀχαιΐδος, οὐδέ πω ἁμῆς
not for yet near did-I-come of-the-Achaean(-land) nor yet our
γῆς ἐπέβην, ἀλλ' αἰὲν ἔχω κακά. σεῖο δ', Ἀχιλλεῦ,
land I-set-foot-on but always I-have evils than-you and Achilles
οὔ τις ἀνὴρ προπάροιθε μακάρτατος οὔτ' ἄρ' ὀπίσσω.
not any man before more-blessed nor then hereafter
πρὶν μὲν γάρ σε ζωὸν ἐτίομεν ἶσα θεοῖσιν
before indeed for you alive we-honored equal to-gods
Ἀργεῖοι, νῦν αὖτε μέγα κρατέεις νεκύεσσιν
the-Argives now in-turn greatly you-rule among-the-dead
ἐνθάδ' ἐών· τῷ μή τι θανὼν ἀκαχίζευ, Ἀχιλλεῦ.'
here being therefore not at-all having-died grieve Achilles
" Ὣς ἐφάμην, ὁ δέ μ' αὐτίκ' ἀμειβόμενος προσέειπε·
So I-spoke he and me at-once answering addressed
'Μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ.
Not indeed to-me death indeed speak-comfortingly glorious Odysseus
βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ,
I-would-wish — on-the-soil being to-serve-for-hire another

ἀνδρὶ παρ᾽ ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
a-man beside portionless to-whom not livelihood much may-be
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
than over-all the-dead perished to-rule
ἀλλ᾽ ἄγε μοι τοῦ παιδὸς ἀγαυοῦ μῦθον ἐνίσπες,
but come to-me of-the son lordly word tell
ἢ ἕπετ᾽ ἐς πόλεμον πρόμος ἔμμεναι, ἦε καὶ οὐκί.
whether he-followed into the-war a-champion to-be or also not
εἰπὲ δέ μοι Πηλῆος ἀμύμονος, εἴ τι πέπυσσαι,
tell and to-me of-Peleus blameless if any you-have-learned
ἢ ἔτ᾽ ἔχει τιμὴν πολέσιν μετὰ Μυρμιδόνεσσιν,
whether still he-has honor many among the-Myrmidons
ἦ μιν ἀτιμάζουσιν ἀν᾽ Ἑλλάδα τε Φθίην τε,
or him they-dishonor throughout Hellas both Phthia and
οὕνεκά μιν κατὰ γῆρας ἔχει χείρας τε πόδας τε.
because him down old-age holds hands both feet and
οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ᾽ αὐγὰς ἠελίοιο,
not for I helper under the-rays of-the-sun
τοῖος ἐών, οἷός ποτ᾽ ἐνὶ Τροίῃ εὐρείῃ
such being as once in Troy broad
πέφνον λαὸν ἄριστον, ἀμύνων Ἀργείοισιν·
I-slew host best warding-off for-the-Argives
εἰ τοιόσδ᾽ ἔλθοιμι μίνυνθά περ ἐς πατέρος δῶ·
if such I-should-come a-little-while indeed to of-father house
τῷ κέ τεῳ στύξαιμι μένος καὶ χεῖρας ἀάπτους,
then — for-someone I-would-make-hate might and hands invincible
οἳ κεῖνον βιόωνται ἐέργουσίν τ᾽ ἀπὸ τιμῆς.᾽
who him do-violence-to keep and from honor

"Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So he-spoke but I him answering addressed

'Ἦ τοι μὲν Πηλῆος ἀμύμονος οὔ τι πέπυσμαι,
Truly indeed indeed of-Peleus blameless not at-all I-have-learned

αὐτάρ τοι παιδός γε Νεοπτολέμοιο φίλοιο
but to-you of-the-son indeed Neoptolemus dear

πᾶσαν ἀληθείην μυθήσομαι, ὥς με κελεύεις·
all truth I-will-tell as me you-bid

αὐτὸς γάρ μιν ἐγὼ κοίλης ἐπὶ νηὸς ἐίσης
myself for him I hollow on ship balanced

ἤγαγον ἐκ Σκύρου μετ' ἐυκνήμιδας Ἀχαιούς.
brought from Scyros to well-greaved Achaeans

ἦ τοι ὅτ' ἀμφὶ πόλιν Τροίην φραζοίμεθα βουλάς,
truly indeed when around the-city Troy we-considered counsels

αἰεὶ πρῶτος ἔβαζε καὶ οὐχ ἡμάρτανε μύθων·
always first he-spoke and not he-missed of-words

Νέστωρ ἀντίθεος καὶ ἐγὼ νικάσκομεν οἴω.
Nestor godlike and I surpassed(-him) alone

αὐτὰρ ὅτ' ἐν πεδίῳ Τρώων μαρναίμεθα χαλκῷ,
but when on the-plain of-the-Trojans we-fought with-bronze

οὔ ποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν οὐδ' ἐν ὁμίλῳ,
not ever in the-multitude he-stayed of-men nor in the-throng

ἀλλὰ πολὺ προθέεσκε τὸ ὂν μένος οὐδενὶ εἴκων,
but far ran-forward the his might to-none yielding

πολλοὺς δ' ἄνδρας ἔπεφνεν ἐν αἰνῇ δηιοτῆτι.
many and men he-slew in dread strife

πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω,
all but not — I will-tell nor name

ὅσσον λαὸν ἔπεφνεν ἀμύνων Ἀργείοισιν,
how-great a-host he-slew warding-off for-the-Argives

ἀλλ᾽ οἷον τὸν Τηλεφίδην κατενήρατο χαλκῷ,
but such the son-of-Telephus he-slew with-bronze
ἥρω᾽ Εὐρύπυλον, πολλοὶ δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
the-hero Eurypylus many and around him comrades
Κήτειοι κτείνοντο γυναίων εἵνεκα δώρων.
Ceteians were-killed of-a-woman's for-the-sake gifts
κεῖνον δὴ κάλλιστον ἴδον μετὰ Μέμνονα δῖον.
him indeed fairest I-saw after Memnon noble
αὐτὰρ ὅτ᾽ εἰς ἵππον κατεβαίνομεν, ὃν κάμ᾽ Ἐπειός,
but when into the-horse we-went-down which made Epeius
Ἀργείων οἱ ἄριστοι, ἐμοὶ δ᾽ ἐπὶ πάντα τέταλτο,
of-the-Argives the best to-me and on all was-charged
ἠμὲν ἀνακλῖναι πυκινὸν λόχον ἠδ᾽ ἐπιθεῖναι,
both to-open the-close ambush and to-shut(-it)
ἔνθ᾽ ἄλλοι Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες
then other of-the-Danaans leaders and rulers
δάκρυά τ᾽ ὠμόργνυντο τρέμον θ᾽ ὑπὸ γυῖα ἑκάστου·
tears both wiped trembled and under limbs of-each
κεῖνον δ᾽ οὔ ποτε πάμπαν ἐγὼν ἴδον ὀφθαλμοῖσιν
him but not ever at-all I saw with-eyes
οὔτ᾽ ὠχρήσαντα χρόα κάλλιμον οὔτε παρειῶν
neither paling in-skin fair nor from-cheeks
δάκρυ ὀμορξάμενον· ὁ δέ με μάλα πόλλ᾽ ἱκέτευεν
a-tear wiping he and me very much entreated
ἱππόθεν ἐξέμεναι, ξίφεος δ᾽ ἐπεμαίετο κώπην
from-the-horse to-go-out of-the-sword and felt the-hilt
καὶ δόρυ χαλκοβαρές, κακὰ δὲ Τρώεσσι μενοίνα.
and the-spear bronze-heavy evils and for-the-Trojans he-purposed
ἀλλ᾽ ὅτε δὴ Πριάμοιο πόλιν διεπέρσαμεν αἰπήν,
but when indeed of-Priam the-city we-had-sacked steep

μοῖραν καὶ γέρας ἐσθλὸν ἔχων ἐπὶ νηὸς ἔβαινεν
his-share and prize good having on ship went
ἀσκηθής, οὔτ' ἂρ βεβλημένος ὀξέι χαλκῷ
unscathed neither then struck with-sharp bronze
οὔτ' αὐτοσχεδίην οὐτασμένος, οἷά τε πολλὰ
nor at-close-quarters wounded such-as — many(-wounds)
γίγνεται ἐν πολέμῳ· ἐπιμὶξ δέ τε μαίνεται Ἄρης.'
happen in war indiscriminately and — rages Ares
"Ὣς ἐφάμην, ψυχὴ δὲ ποδώκεος Αἰακίδαο
So I-spoke the-soul and of-the-swift-footed son-of-Aeacus
φοίτα μακρὰ βιβᾶσα κατ' ἀσφοδελὸν λειμῶνα,
went long striding through the-asphodel meadow
γηθοσύνη ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι.
in-joy that his son I-said distinguished to-be

XI.8 · AJAX AND THE GREAT SINNERS

Ajax, still angry that Odysseus won Achilles' armor, refused to answer and went away. Odysseus saw Minos judging the dead, Orion, Tityus, Tantalus, and Sisyphus pushing his stone uphill, and the phantom of Heracles. Fearing that Persephone might send the Gorgon's head, he fled to the ship.

"Αἱ δ' ἄλλαι ψυχαὶ νεκύων κατατεθνηώτων
The and other souls of-the-dead having-died
ἕστασαν ἀχνύμεναι, εἴροντο δὲ κήδε' ἑκάστη.
stood grieving asked and their-troubles each
οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
alone and of-Ajax the-soul son-of-Telamon
νόσφιν ἀφεστήκει, κεχολωμένη εἵνεκα νίκης,
apart stood-aloof angered for-the-sake-of the-victory

τήν μιν ἐγὼ νίκησα δικαζόμενος παρὰ νηυσὶ
which him I won judging-the-case by the-ships
τεύχεσιν ἀμφ᾽ Ἀχιλῆος· ἔθηκε δὲ πότνια μήτηρ.
for-the-arms of Achilles set and queenly mother
παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.
the-sons and of-the-Trojans judged and Pallas Athena
ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ᾽ ἐπ᾽ ἀέθλῳ·
would indeed not I-ought to-win such in a-contest
τοίην γὰρ κεφαλὴν ἕνεκ᾽ αὐτῶν γαῖα κατέσχεν,
such for a-head because-of them the-earth held-down
Αἴανθ᾽, ὃς πέρι μὲν εἶδος, πέρι δ᾽ ἔργα τέτυκτο
Ajax who beyond indeed in-form beyond and in-deeds was-made
τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλεΐωνα.
of-the other Danaans after blameless son-of-Peleus
τὸν μὲν ἐγὼν ἐπέεσσι προσηύδων μειλιχίοισιν·
him indeed I with-words addressed honeyed
“‘Αἶαν, παῖ Τελαμῶνος ἀμύμονος, οὐκ ἄρ᾽ ἔμελλες
Ajax son of-Telamon blameless not then were-you-to
οὐδὲ θανὼν λήσεσθαι ἐμοὶ χόλου εἵνεκα τευχέων
not-even dead to-forget toward-me wrath for-the-sake of-the-arms
οὐλομένων; τὰ δὲ πῆμα θεοὶ θέσαν Ἀργείοισι,
accursed them and a-woe the-gods made for-the-Argives

τοῖος γάρ σφιν πύργος ἀπώλεο· σεῖο δ' Ἀχαιοὶ
such for for-them a-tower you-perished you and the-Achaeans
ἶσον Ἀχιλλῆος κεφαλῇ Πηληιάδαο
equal of-Achilles to-the-head of-Peleus'-son
ἀχνύμεθα φθιμένοιο διαμπερές· οὐδέ τις ἄλλος
we-grieve having-died continually nor any other
αἴτιος, ἀλλὰ Ζεὺς Δαναῶν στρατὸν αἰχμητάων
(is)-to-blame but Zeus of-the-Danaans the-host of-spearmen
ἐκπάγλως ἤχθηρε, τεῖν δ' ἐπὶ μοῖραν ἔθηκεν.
terribly hated on-you and on fate he-laid
ἀλλ' ἄγε δεῦρο, ἄναξ, ἵν' ἔπος καὶ μῦθον ἀκούσῃς
but come hither lord so-that word and speech you-may-hear
ἡμέτερον· δάμασον δὲ μένος καὶ ἀγήνορα θυμόν.'
our subdue and might and proud heart
" Ὣς ἐφάμην, ὁ δέ μ' οὐδὲν ἀμείβετο, βῆ δὲ μετ' ἄλλας
So I-spoke he and me nothing answered went and among other
ψυχὰς εἰς Ἔρεβος νεκύων κατατεθνηώτων.
souls into Erebus of-the-dead having-died
ἔνθα χ' ὅμως προσέφη κεχολωμένος, ἤ κεν ἐγὼ τόν·
there — nevertheless he-would-have-addressed(-me) angered or — I him
ἀλλά μοι ἤθελε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
but my wished heart in breast dear
τῶν ἄλλων ψυχὰς ἰδέειν κατατεθνηώτων.
of-the other the-souls to-see having-died
" Ἔνθ' ἦ τοι Μίνωα ἴδον, Διὸς ἀγλαὸν υἱόν,
There truly indeed Minos I-saw of-Zeus glorious son
χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν,
golden scepter holding giving-judgments to-the-dead

ἥμενον, οἱ δέ μιν ἀμφὶ δίκας εἴροντο ἄνακτα,
sitting they and him around judgments asked the-lord
ἥμενοι ἑσταότες τε κατ' εὐρυπυλὲς Ἄιδος δῶ.
sitting standing and throughout wide-gated of-Hades house
"Τὸν δὲ μετ' Ὠρίωνα πελώριον εἰσενόησα
Him and after Orion monstrous I-beheld
θῆρας ὁμοῦ εἰλεῦντα κατ' ἀσφοδελὸν λειμῶνα,
beasts together driving through the-asphodel meadow
τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι
which himself slew in lonely mountains
χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, αἰὲν ἀαγές.
in-hands holding a-club all-bronze ever unbreakable
"Καὶ Τιτυὸν εἶδον, Γαίης ἐρικυδέος υἱόν,
And Tityus I-saw of-Earth glorious son
κείμενον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα,
lying on the-ground he and over nine lay plethra
γῦπε δέ μιν ἑκάτερθε παρημένω ἦπαρ ἔκειρον,
vultures and him on-either-side sitting the-liver tore
δέρτρον ἔσω δύνοντες, ὁ δ' οὐκ ἀπαμύνετο χερσί·
the-bowel within plunging he and not warded(-them)-off with-hands
Λητὼ γὰρ ἕλκησε, Διὸς κυδρὴν παράκοιτιν,
Leto for he-had-dragged of-Zeus the-glorious wife
Πυθώδ' ἐρχομένην διὰ καλλιχόρου Πανοπῆος.
to-Pytho going through lovely-lawned Panopeus
"Καὶ μὴν Τάνταλον εἰσεῖδον κρατέρ' ἄλγε' ἔχοντα
And indeed Tantalus I-beheld mighty pains having
ἑστεῶτ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ·
standing in a-lake it and came-close to-the-chin
στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἐλέσθαι·
he-strained and thirsting to-drink but not he-was-able to-take

ὁσσάκι γὰρ κύψει᾽ ὁ γέρων πιέειν μενεαίνων,
as-often-as for would-stoop the old-man to-drink eager
τοσσάχ᾽ ὕδωρ ἀπολέσκετ᾽ ἀναβροχέν, ἀμφὶ δὲ ποσσὶ
so-often the-water was-lost sucked-down around and feet
γαῖα μέλαινα φάνεσκε, καταζήνασκε δὲ δαίμων.
the-earth black appeared dried-up and a-god
δένδρεα δ᾽ ὑψιπέτηλα κατὰ κρῆθεν χέε καρπόν,
trees and high-leafed down from-the-top poured fruit
ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι
pears and pomegranates and apple-trees with-glorious-fruit
συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι·
figs both sweet and olives flourishing
τῶν ὁπότ᾽ ἰθύσει᾽ ὁ γέρων ἐπὶ χερσὶ μάσασθαι,
of-these when would-reach the old-man with hands to-clutch
τὰς δ᾽ ἄνεμος ῥίπτασκε ποτὶ νέφεα σκιόεντα.
them and the-wind would-toss toward clouds shadowy
"Καὶ μὴν Σίσυφον εἰσεῖδον κρατέρ᾽ ἄλγε᾽ ἔχοντα
And indeed Sisyphus I-beheld mighty pains having
λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.
a-stone heaving monstrous with-both(-hands)
ἦ τοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε
truly indeed he indeed pressing-hard with-hands both with-feet and
λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ᾽ ὅτε μέλλοι
the-stone upward would-thrust toward a-crest but when he-was-about
ἄκρον ὑπερβαλέειν, τότ᾽ ἀποστρέψασκε κραταιίς·
the-top to-cross then turned(-it)-back the-overpowering-weight
αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.
back then to-the-plain rolled the-stone shameless

αὐτὰρ ὅ γ' ἂψ ὤσασκε τιταινόμενος, κατὰ δ' ἱδρὼς
but he indeed again would-thrust straining down and sweat
ἔρρεεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.
flowed from limbs dust and from head rose
"Τὸν δὲ μετ' εἰσενόησα βίην Ἡρακληείην,
Him and after I-beheld the-might Heraclean
εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι
a-phantom himself and among immortal gods
τέρπεται ἐν θαλίῃς καὶ ἔχει καλλίσφυρον Ἥβην,
delights in festivities and has fair-ankled Hebe
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου.
child of-Zeus great and of-Hera golden-sandaled
ἀμφὶ δέ μιν κλαγγὴ νεκύων ἦν οἰωνῶν ὥς,
around and him a-clamor of-the-dead was of-birds like
πάντοσ' ἀτυζομένων· ὁ δ' ἐρεμνῇ νυκτὶ ἐοικώς,
everywhere scattering-in-terror he and to-dark night like
γυμνὸν τόξον ἔχων καὶ ἐπὶ νευρῇφιν ὀιστόν,
bare bow holding and on string an-arrow
δεινὸν παπταίνων, αἰεὶ βαλέοντι ἐοικώς.
dreadfully glaring always to-one-about-to-shoot like
σμερδαλέος δέ οἱ ἀμφὶ περὶ στήθεσσιν ἀορτὴρ
terrible and his around about breast the-baldric
χρύσεος ἦν τελαμών, ἵνα θέσκελα ἔργα τέτυκτο,
golden was a-belt on-which wondrous works were-wrought
ἄρκτοι τ' ἀγρότεροί τε σύες χαροποί τε λέοντες,
bears both wild and boars bright-eyed and lions
ὑσμῖναί τε μάχαι τε φόνοι τ' ἀνδροκτασίαι τε.
battles both fights and slaughters and man-slayings and
μὴ τεχνησάμενος μηδ' ἄλλο τι τεχνήσαιτο,
not having-devised(-it) nor other anything may-be-devise

ὃς κεῖνον τελαμῶνα ἑῇ ἐγκάτθετο τέχνῃ.
who that belt in-his-own laid-up art
ἔγνω δ' αὖτ' ἔμ' ἐκεῖνος, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν,
he-knew and in-turn me he when he-saw with-eyes
καί μ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα·
and me lamenting words winged addressed
"'Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Zeus-born son-of-Laertes of-many-devices Odysseus
ἆ δείλ', ἦ τινὰ καὶ σὺ κακὸν μόρον ἡγηλάζεις,
ah wretched-one truly some also you evil fate lead
ὅν περ ἐγὼν ὀχέεσκον ὑπ' αὐγὰς ἠελίοιο.
which indeed I endured under the-rays of-the-sun
Ζηνὸς μὲν πάις ἦα Κρονίονος, αὐτὰρ ὀιζὺν
of-Zeus indeed son I-was son-of-Cronus but misery
εἶχον ἀπειρεσίην· μάλα γὰρ πολὺ χείρονι φωτὶ
I-had boundless very for much to-a-worse man
δεδμήμην, ὅ δέ μοι χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
I-was-subjected he and to-me hard enjoined labors
καί ποτέ μ' ἐνθάδ' ἔπεμψε κύν' ἄξοντ'· οὐ γὰρ ἔτ' ἄλλον
and once me here he-sent the-dog to-fetch not for still another
φράζετο τοῦδέ γέ μοι κρατερώτερον εἶναι ἄεθλον·
he-thought than-this indeed for-me harder to-be a-labor
τὸν μὲν ἐγὼν ἀνένεικα καὶ ἤγαγον ἐξ Ἀΐδαο·
him indeed I brought-up and led from Hades
Ἑρμείας δέ μ' ἔπεμψεν ἰδὲ γλαυκῶπις Ἀθήνη.'
Hermes and me escorted and flashing-eyed Athena

"Ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη δόμον Ἄιδος εἴσω,
So having-spoken he indeed back went the-house of-Hades into
αὐτὰρ ἐγὼν αὐτοῦ μένον ἔμπεδον, εἴ τις ἔτ' ἔλθοι
but I there stayed steadfast if any still might-come
ἀνδρῶν ἡρώων, οἳ δὴ τὸ πρόσθεν ὄλοντο.
of-men heroes who indeed the before perished
καί νύ κ' ἔτι προτέρους ἴδον ἀνέρας, οὓς ἔθελόν περ,
and now — still earlier I-would-have-seen men whom I-wished indeed
Θησέα Πειρίθοόν τε, θεῶν ἐρικυδέα τέκνα·
Theseus Peirithous and of-the-gods glorious children
ἀλλὰ πρὶν ἐπὶ ἔθνε' ἀγείρετο μυρία νεκρῶν
but before on the-tribes gathered countless of-the-dead
ἠχῇ θεσπεσίῃ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει,
with-a-cry wondrous me and pale fear seized
μή μοι Γοργείην κεφαλὴν δεινοῖο πελώρου
lest for-me the-Gorgon head of-dread monster
ἐξ Ἀίδεω πέμψειεν ἀγαυὴ Περσεφόνεια.
from Hades should-send lordly Persephone
"Αὐτίκ' ἔπειτ' ἐπὶ νῆα κιὼν ἐκέλευον ἑταίρους
At-once then to the-ship going I-bade the-comrades
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι.
themselves and to-embark up and the-stern-cables to-loose
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
they and at-once embarked and on benches sat
τὴν δὲ κατ' Ὠκεανὸν ποταμὸν φέρε κῦμα ῥόοιο,
her and down-along Ocean river bore the-wave of-the-current
πρῶτα μὲν εἰρεσίῃ, μετέπειτα δὲ κάλλιμος οὖρος.
first indeed by-rowing afterward and a-fine fair-wind

BOOK XII

XII.1 · CIRCE'S WARNINGS

They returned to Aeaea and buried Elpenor, setting his oar on the barrow. Circe fed them and, taking Odysseus aside, told him the way. First he must pass the Sirens, who bewitch sailors with song; he must stop his men's ears with wax and, if he wished to hear, have himself bound to the mast. Then he must choose between the Planctae, the Wandering Rocks, which only the Argo has passed, and another way.

"Αὐτὰρ ἐπεὶ ποταμοῖο λίπεν ῥόον Ὠκεανοῖο
But when of-the-river left the-stream of-Ocean
νηῦς, ἀπὸ δ' ἵκετο κῦμα θαλάσσης εὐρυπόροιο
the-ship from and reached the-wave of-the-sea wide-wayed
νῆσόν τ' Αἰαίην, ὅθι τ' Ἠοῦς ἠριγενείης
the-island and Aeaean where — of-Dawn early-born
οἰκία καὶ χοροί εἰσι καὶ ἀντολαὶ Ἠελίοιο,
the-dwelling and dancing-floors are and the-risings of-Helios
νῆα μὲν ἔνθ' ἐλθόντες ἐκέλσαμεν ἐν ψαμάθοισιν,
the-ship indeed there coming we-beached in the-sands
ἐκ δὲ καὶ αὐτοὶ βῆμεν ἐπὶ ῥηγμῖνι θαλάσσης·
out and also ourselves went on the-breakers of-the-sea
ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν Ἠῶ δῖαν.
there and falling-asleep we-awaited Dawn bright
"Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
When and early-born appeared rosy-fingered Dawn
δὴ τότ' ἐγὼν ἑτάρους προΐειν ἐς δώματα Κίρκης
indeed then I comrades sent-forth to the-house of-Circe
οἰσέμεναι νεκρόν, Ἐλπήνορα τεθνηῶτα.
to-fetch the-dead Elpenor having-died

φιτροὺς δ' αἶψα ταμόντες, ὅθ' ἀκροτάτη πρόεχ' ἀκτή,
logs and quickly cutting where the-farthest jutted headland
θάπτομεν ἀχνύμενοι θαλερὸν κατὰ δάκρυ χέοντες.
we-buried(-him) grieving swelling down tear shedding
αὐτὰρ ἐπεὶ νεκρός τ' ἐκάη καὶ τεύχεα νεκροῦ,
but when the-dead both was-burned and the-armor of-the-dead
τύμβον χεύαντες καὶ ἐπὶ στήλην ἐρύσαντες
a-barrow having-heaped and on a-pillar having-dragged
πήξαμεν ἀκροτάτῳ τύμβῳ εὐῆρες ἐρετμόν.
we-fixed on-the-top barrow the-well-fitted oar
"Ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν· οὐδ' ἄρα Κίρκην
We indeed these each attended-to nor then Circe
ἐξ Ἀΐδεω ἐλθόντες ἐλήθομεν, ἀλλὰ μάλ' ὦκα
from Hades coming we-escaped-the-notice-of but very quickly
ἦλθ' ἐντυναμένη· ἅμα δ' ἀμφίπολοι φέρον αὐτῇ
she-came having-dressed with and handmaids carried her
σῖτον καὶ κρέα πολλὰ καὶ αἴθοπα οἶνον ἐρυθρόν.
bread and meats much and sparkling wine red
ἡ δ' ἐν μέσσῳ στᾶσα μετηύδα δῖα θεάων·
she and in the-middle standing spoke-among(-us) bright of-goddesses
"'Σχέτλιοι, οἳ ζώοντες ὑπήλθετε δῶμ' Ἄϊδαο,
Cruel-ones who living went-down-to the-house of-Hades
δισθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνῄσκουσ' ἄνθρωποι.
twice-dying when — others once die men

ἀλλ᾽ ἄγετ᾽ ἐσθίετε βρώμην καὶ πίνετε οἶνον
but come eat food and drink wine
αὖθι πανημέριοι· ἅμα δ᾽ ἠοῖ φαινομένηφι
here all-day with and dawn appearing
πλεύσεσθ᾽· αὐτὰρ ἐγὼ δείξω ὁδὸν ἠδὲ ἕκαστα
you-will-sail but I will-show the-way and each-thing
σημανέω, ἵνα μή τι κακορραφίῃ ἀλεγεινῇ
will-declare so-that not at-all by-evil-contrivance grievous
ἢ ἁλὸς ἢ ἐπὶ γῆς ἀλγήσετε πῆμα παθόντες.᾽
either on-sea or on land you-may-suffer woe having-suffered
“ Ὣς ἔφαθ᾽, ἡμῖν δ᾽ αὖτ᾽ ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So she-spoke our and in-turn was-persuaded heart proud
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
so then indeed all day to sun setting
ἥμεθα δαινύμενοι κρέα τ᾽ ἄσπετα καὶ μέθυ ἡδύ·
we-sat feasting meats both boundless and wine sweet
ἦμος δ᾽ ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν,
when and the-sun set and on darkness came
οἱ μὲν κοιμήσαντο παρὰ πρυμνήσια νηός,
they indeed lay-down by the-stern-cables of-the-ship
ἡ δ᾽ ἐμὲ χειρὸς ἑλοῦσα φίλων ἀπονόσφιν ἑταίρων
she and me by-the-hand taking dear apart-from comrades
εἶσέ τε καὶ προσέλεκτο καὶ ἐξερέεινεν ἕκαστα·
seated(-me) both and lay-beside(-me) and asked each-thing
αὐτὰρ ἐγὼ τῇ πάντα κατὰ μοῖραν κατέλεξα.
but I to-her all according-to due recounted
καὶ τότε δή μ᾽ ἐπέεσσι προσηύδα πότνια Κίρκη·
and then indeed me with-words addressed queenly Circe

"“Ταῦτα μὲν οὕτω πάντα πεπείρανται, σὺ δ’ ἄκουσον,
These-things indeed thus all have-been-accomplished you and listen
ὥς τοι ἐγὼν ἐρέω, μνήσει δέ σε καὶ θεὸς αὐτός.
as to-you I will-tell will-remind and you even the-god himself
Σειρῆνας μὲν πρῶτον ἀφίξεαι, αἵ ῥά τε πάντας
the-Sirens indeed first you-will-come-to who then — all
ἀνθρώπους θέλγουσιν, ὅτις σφεας εἰσαφίκηται.
men bewitch whoever them comes-to
ὅς τις ἀιδρείῃ πελάσῃ καὶ φθόγγον ἀκούσῃ
who any in-ignorance draws-near and the-voice hears
Σειρήνων, τῷ δ’ οὔ τι γυνὴ καὶ νήπια τέκνα
of-the-Sirens for-him and not at-all wife and infant children
οἴκαδε νοστήσαντι παρίσταται οὐδὲ γάνυνται,
home having-returned stand-beside nor are-gladdened
ἀλλά τε Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ
but — the-Sirens with-clear bewitch song
ἥμεναι ἐν λειμῶνι, πολὺς δ’ ἀμφ’ ὀστεόφιν θὶς
sitting in a-meadow much and around bones a-heap
ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσι.
of-men rotting around and skins shrivel
ἀλλὰ παρεξελάαν, ἐπὶ δ’ οὔατ’ ἀλεῖψαι ἑταίρων
but drive-past on and the-ears smear of-the-comrades
κηρὸν δεψήσας μελιηδέα, μή τις ἀκούσῃ
wax having-kneaded honey-sweet lest any hear
τῶν ἄλλων· ἀτὰρ αὐτὸς ἀκουέμεν αἴ κ’ ἐθέλῃσθα,
of-the others but yourself to-hear if — you-wish
δησάντων σ’ ἐν νηὶ θοῇ χεῖράς τε πόδας τε
let-them-bind you in ship swift hands both feet and
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ’ αὐτοῦ πείρατ’ ἀνήφθω,
upright in mast-step from and it ropes let-be-fastened

ὄφρα κε τερπόμενος ὄπ᾽ ἀκούσῃς Σειρήνοιν.
so-that — delighting the-voice you-may-hear of-the-two-Sirens
εἰ δέ κε λίσσηαι ἑτάρους λῦσαί τε κελεύῃς,
if and — you-beseech the-comrades to-loose and bid
οἱ δέ σ᾽ ἔτι πλεόνεσσι τότ᾽ ἐν δεσμοῖσι διδέντων.
they and you still with-more then in bonds let-bind
αὐτὰρ ἐπὴν δὴ τάς γε παρὲξ ἐλάσωσιν ἑταῖροι,
but when indeed them indeed past drive the-comrades
ἔνθα τοι οὐκέτ᾽ ἔπειτα διηνεκέως ἀγορεύσω,
there to-you no-longer then fully will-I-tell
ὁπποτέρη δή τοι ὁδὸς ἔσσεται, ἀλλὰ καὶ αὐτὸς
which-of-two indeed for-you way will-be but also yourself
θυμῷ βουλεύειν· ἐρέω δέ τοι ἀμφοτέρωθεν.
in-heart to-consider I-will-tell and to-you on-both-sides
ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, προτὶ δ᾽ αὐτὰς
on-one-side indeed for rocks overhanging toward and them
κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης·
wave great roars of-dark-eyed Amphitrite
Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσι.
Planctae indeed you-know them indeed the-gods blessed call
τῇ μέν τ᾽ οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι
there indeed — not-even winged-things pass-by nor doves
τρήρωνες, ταί τ᾽ ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
timid which — ambrosia to-Zeus father bring
ἀλλά τε καὶ τῶν αἰὲν ἀφαιρεῖται λὶς πέτρη·
but — even of-them always takes-away the-smooth rock
ἀλλ᾽ ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.
but another sends-in the-father in-number to-be
τῇ δ᾽ οὔ πώ τις νηῦς φύγεν ἀνδρῶν, ἥ τις ἵκηται,
there and not yet any ship escaped of-men which any comes

ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
but — together planks both of-ships and bodies of-men
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.
the-waves of-the-sea carry of-fire and deadly blasts
οἵη δὴ κείνη γε παρέπλω ποντοπόρος νηῦς,
alone indeed that indeed sailed-past seafaring ship
Ἀργὼ πᾶσι μέλουσα, παρ' Αἰήταο πλέουσα.
Argo to-all of-concern from Aeetes sailing
καὶ νύ κε τὴν ἔνθ' ὦκα βάλεν μεγάλας ποτὶ πέτρας,
and now — her there quickly it-would-have-dashed great against rocks
ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.
but Hera sent(-her)-past since dear was Jason

XII.2 · SCYLLA, CHARYBDIS, AND THE CATTLE OF THE SUN

Circe described the other way between two crags: the high one where Scylla, with twelve feet and six heads, snatches six men from every ship; the low one where Charybdis sucks down the sea three times a day. It is better to lose six men to Scylla than the ship to Charybdis. When Odysseus asked how to fight Scylla, Circe told him she is an immortal evil and must be fled. She also warned him that the cattle of Helios on Thrinacia must be spared.

"'Οἱ δὲ δύω σκόπελοι ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει
The and two crags the-one indeed heaven broad reaches
ὀξείῃ κορυφῇ, νεφέλη δέ μιν ἀμφιβέβηκε
with-sharp peak cloud and it encompasses
κυανέη· τὸ μὲν οὔ ποτ' ἐρωεῖ, οὐδέ ποτ' αἴθρη
dark it indeed not ever withdraws nor ever clear-sky
κείνου ἔχει κορυφὴν οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρῃ.
its holds peak neither in summer nor in autumn

οὐδέ κεν ἀμβαίη βροτὸς ἀνὴρ οὐδ' ἐπιβαίη,
nor — could-climb(-it) mortal man nor set-foot-on(-it)
οὐδ' εἴ οἱ χεῖρές τε ἐείκοσι καὶ πόδες εἶεν·
not-even if his hands both twenty and feet were
πέτρη γὰρ λίς ἐστι, περιξέστῃ ἐικυῖα.
rock for smooth is to-polished like
μέσσῳ δ' ἐν σκοπέλῳ ἔστι σπέος ἠεροειδές,
the-middle and in the-crag is a-cave misty
πρὸς ζόφον εἰς Ἔρεβος τετραμμένον, ᾗ περ ἂν ὑμεῖς
toward the-gloom to Erebus turned where indeed — you
νῆα παρὰ γλαφυρὴν ἰθύνετε, φαίδιμ' Ὀδυσσεῦ.
the-ship past hollow will-steer glorious Odysseus
οὐδέ κεν ἐκ νηὸς γλαφυρῆς αἰζήιος ἀνὴρ
nor — from ship hollow a-vigorous man
τόξῳ ὀιστεύσας κοῖλον σπέος εἰσαφίκοιτο.
with-bow shooting-arrow the-hollow cave could-reach
ἔνθα δ' ἐνὶ Σκύλλη ναίει δεινὸν λελακυῖα.
there and in Scylla dwells terribly yelping
τῆς ἦ τοι φωνὴ μὲν ὅση σκύλακος νεογιλῆς
whose truly indeed voice indeed as-great-as of-a-puppy new-born
γίγνεται, αὐτὴ δ' αὖτε πέλωρ κακόν· οὐδέ κέ τίς μιν
is herself and in-turn a-monster evil nor — anyone her
γηθήσειεν ἰδών, οὐδ' εἰ θεὸς ἀντιάσειεν.
would-rejoice seeing not-even if a-god should-meet(-her)
τῆς ἦ τοι πόδες εἰσὶ δυώδεκα πάντες ἄωροι,
of-her truly indeed feet are twelve all dangling

ἓξ δέ τέ οἱ δειραὶ περιμήκεες, ἐν δὲ ἑκάστῃ
six and — her necks very-long in and each
σμερδαλέη κεφαλή, ἐν δὲ τρίστοιχοι ὀδόντες
terrible a-head in and triple-rowed teeth
πυκνοὶ καὶ θαμέες, πλεῖοι μέλανος θανάτοιο.
thick and close full of-black death
μέσση μέν τε κατὰ σπείους κοίλοιο δέδυκεν,
middle indeed — down in-the-cave hollow she-is-sunk
ἔξω δ' ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου,
outside and she-holds-out heads of-the-dread chasm
αὐτοῦ δ' ἰχθυάᾳ, σκόπελον περιμαιμώωσα,
there and she-fishes the-crag searching-round
δελφῖνάς τε κύνας τε, καὶ εἴ ποθι μεῖζον ἕλῃσι
dolphins both dogfish and and if somewhere greater she-may-take
κῆτος, ἃ μυρία βόσκει ἀγάστονος Ἀμφιτρίτη.
a-sea-beast which countless feeds loud-moaning Amphitrite
τῇ δ' οὔ πώ ποτε ναῦται ἀκήριοι εὐχετόωνται
there and not yet ever sailors unharmed boast
παρφυγέειν σὺν νηί· φέρει δέ τε κρατὶ ἑκάστῳ
to-have-fled-past with ship she-carries and — with-head each
φῶτ' ἐξαρπάξασα νεὸς κυανοπρώροιο.
a-man snatching-away of-the-ship dark-prowed

"'Τὸν δ' ἕτερον σκόπελον χθαμαλώτερον ὄψει, Ὀδυσσεῦ.
The and other crag lower you-will-see Odysseus
πλησίον ἀλλήλων· καί κεν διοϊστεύσειας.
near each-other and — you-could-shoot-across(-it)
τῷ δ' ἐν ἐρινεὸς ἔστι μέγας, φύλλοισι τεθηλώς·
on-it and in a-fig-tree is great with-leaves flourishing
τῷ δ' ὑπὸ δῖα Χάρυβδις ἀναρροιβδεῖ μέλαν ὕδωρ.
it and under divine Charybdis sucks-down black water

τρὶς μὲν γάρ τ' ἀνίησιν ἐπ' ἤματι, τρὶς δ' ἀναροιβδεῖ
thrice indeed for — she-sends-up(-it) in a-day thrice and sucks-down
δεινόν· μὴ σύ γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν·
terribly not you indeed there may-you-happen when she-sucks-down
οὐ γάρ κεν ῥύσαιτό σ' ὑπὲκ κακοῦ οὐδ' ἐνοσίχθων.
not for — could-rescue you out-of the-evil not-even the-earth-shaker
ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος ὦκα
but very of-Scylla to-the-crag drawing-near quickly
νῆα παρὲξ ἐλάαν, ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
the-ship past to-drive since truly much better it-is
ἓξ ἑτάρους ἐν νηὶ ποθήμεναι ἢ ἅμα πάντας.'
six comrades in the-ship to-mourn than together all
"Ὣς ἔφατ', αὐτὰρ ἐγώ μιν ἀμειβόμενος προσέειπον·
So she-spoke but I her answering addressed
'Εἰ δ' ἄγε δή μοι τοῦτο, θεά, νημερτὲς ἐνίσπες,
If and come indeed to-me this goddess truly tell
εἴ πως τὴν ὀλοὴν μὲν ὑπεκπροφύγοιμι Χάρυβδιν,
if somehow the deadly indeed I-might-escape Charybdis
τὴν δέ κ' ἀμυναίμην, ὅτε μοι σίνοιτό γ' ἑταίρους.'
the-other and — I-might-ward-off when my should-harm indeed comrades
"Ὣς ἐφάμην, ἡ δ' αὐτίκ' ἀμείβετο δῖα θεάων·
So I-spoke she and at-once answered bright of-goddesses
'Σχέτλιε, καὶ δὴ αὖ τοι πολεμήια ἔργα μέμηλε
Cruel-one and indeed in-turn to-you warlike works are-of-concern
καὶ πόνος· οὐδὲ θεοῖσιν ὑπείξεαι ἀθανάτοισιν;
and toil nor to-the-gods will-you-yield immortal
ἡ δέ τοι οὐ θνητή, ἀλλ' ἀθάνατον κακόν ἐστι,
she and you-know not mortal but immortal evil is
δεινόν τ' ἀργαλέον τε καὶ ἄγριον οὐδὲ μαχητόν·
dread both grievous and and savage nor fightable

οὐδέ τις ἔστ' ἀλκή· φυγέειν κάρτιστον ἀπ' αὐτῆς.
nor any is defense to-flee best from her
ἢν γὰρ δηθύνῃσθα κορυσσόμενος παρὰ πέτρῃ,
if for you-delay arming beside the-rock
δείδω, μή σ' ἐξαῦτις ἐφορμηθεῖσα κίχῃσι
I-fear lest you again rushing-forth she-catch
τόσσῃσιν κεφαλῇσι, τόσους δ' ἐκ φῶτας ἕληται.
with-so-many heads so-many and out men she-take
ἀλλὰ μάλα σφοδρῶς ἐλάαν, βωστρεῖν δὲ Κράταιιν,
but very vigorously drive call-upon and Crataiis
μητέρα τῆς Σκύλλης, ἥ μιν τέκε πῆμα βροτοῖσιν·
the-mother of-this Scylla who her bore as-a-woe to-mortals
ἥ μιν ἔπειτ' ἀποπαύσει ἐς ὕστερον ὁρμηθῆναι.
who her then will-stop for later to-rush
"'Θρινακίην δ' ἐς νῆσον ἀφίξεαι· ἔνθα δὲ πολλαὶ
Thrinacian and to island you-will-come there and many
βόσκοντ' Ἠελίοιο βόες καὶ ἴφια μῆλα,
graze of-Helios cattle and fat flocks
ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ' οἰῶν πώεα καλά,
seven of-cattle herds so-many and of-sheep flocks fair
πεντήκοντα δ' ἕκαστα. γόνος δ' οὐ γίγνεται αὐτῶν,
fifty and each offspring and not is-born of-them
οὐδέ ποτε φθινύθουσι. θεαὶ δ' ἐπιποιμένες εἰσίν,
nor ever do-they-wane goddesses and shepherds are
νύμφαι ἐυπλόκαμοι, Φαέθουσά τε Λαμπετίη τε,
nymphs fair-tressed Phaethusa both Lampetie and
ἃς τέκεν Ἠελίῳ Ὑπερίονι δῖα Νέαιρα.
whom bore to-Helios Hyperion bright Neaera

τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε πότνια μήτηρ
them indeed then having-reared having-borne and queenly mother
Θρινακίην ἐς νῆσον ἀπώκισε τηλόθι ναίειν,
Thrinacian to island settled far-away to-dwell
μῆλα φυλασσέμεναι πατρώια καὶ ἕλικας βοῦς.
flocks to-guard ancestral and crooked-horned cattle
τὰς εἰ μέν κ' ἀσινέας ἐάᾳς νόστου τε μέδηαι,
them if indeed — unharmed you-leave of-return and are-mindful
ἦ τ' ἂν ἔτ' εἰς Ἰθάκην κακά περ πάσχοντες ἵκοισθε·
truly — — still to Ithaca evils though suffering you-may-reach(-home)
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον,
if but — you-harm then for-you I-foretell destruction
νηί τε καὶ ἑτάροις· αὐτὸς δ' εἴ πέρ κεν ἀλύξῃς,
for-ship both and comrades yourself and if indeed — you-escape
ὀψὲ κακῶς νεῖαι, ὀλέσας ἄπο πάντας ἑταίρους.'
late evilly you-will-come having-lost — all comrades

XII.3 · THE SIRENS

Odysseus told his men Circe's warnings, stopped their ears with wax, and had himself bound to the mast. The Sirens sang, promising knowledge of all things, but his men bound him tighter, and they passed safely.

'' Ὣς ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
So she-spoke at-once and golden-throned came Dawn
ἡ μὲν ἔπειτ' ἀνὰ νῆσον ἀπέστιχε δῖα θεάων·
she indeed then up-through the-island went-away bright of-goddesses

αὐτὰρ ἐγὼν ἐπὶ νῆα κιὼν ὤτρυνον ἑταίρους
but I to the-ship going urged the-comrades
αὐτούς τ' ἀμβαίνειν ἀνά τε πρυμνήσια λῦσαι·
themselves both to-embark up and the-stern-cables to-loose
οἱ δ' αἶψ' εἴσβαινον καὶ ἐπὶ κληῖσι καθῖζον.
they and at-once embarked and on benches sat
ἑξῆς δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
in-a-row and sitting the-gray sea smote with-oars
ἡμῖν δ' αὖ κατόπισθε νεὸς κυανοπρώροιο
for-us and in-turn behind the-ship dark-prowed
ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον,
favorable fair-wind sent sail-filling good comrade
Κίρκη ἐυπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
Circe fair-tressed dread goddess speaking-with-voice
αὐτίκα δ' ὅπλα ἕκαστα πονησάμενοι κατὰ νῆα
at-once and the-tackle each having-labored-at throughout the-ship
ἥμεθα· τὴν δ' ἄνεμός τε κυβερνήτης τ' ἴθυνε.
sat her and wind both helmsman and steered
"Δὴ τότ' ἐγὼν ἑτάροισι μετηύδων ἀχνύμενος κῆρ·
Indeed then I among-the-comrades spoke grieving at-heart
'Ὦ φίλοι, οὐ γὰρ χρὴ ἕνα ἴδμεναι οὐδὲ δύ' οἵους
O friends not for it-is-right one to-know nor two only
θέσφαθ' ἅ μοι Κίρκη μυθήσατο, δῖα θεάων·
the-oracles which to-me Circe told bright of-goddesses
ἀλλ' ἐρέω μὲν ἐγών, ἵνα εἰδότες ἤ κε θάνωμεν
but I-will-tell indeed I so-that knowing either — we-may-die
ἤ κεν ἀλευάμενοι θάνατον καὶ κῆρα φύγοιμεν.
or — avoiding death and doom we-may-escape

Σειρήνων μὲν πρῶτον ἀνώγει θεσπεσιάων
of-the-Sirens indeed first she-bade wondrous
φθόγγον ἀλεύασθαι καὶ λειμῶν' ἀνθεμόεντα.
the-voice to-avoid and meadow flowery
οἷον ἔμ' ἠνώγει ὄπ' ἀκουέμεν· ἀλλά με δεσμῷ
alone me she-bade the-voice to-hear but me with-a-bond
δήσατ' ἐν ἀργαλέῳ, ὄφρ' ἔμπεδον αὐτόθι μίμνω,
bind in grievous so-that steadfast there I-may-remain
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω.
upright in mast-step from and it ropes let-be-fastened
εἰ δέ κε λίσσωμαι ὑμέας λῦσαί τε κελεύω,
if and — I-beseech you to-loose and bid
ὑμεῖς δὲ πλεόνεσσι τότ' ἐν δεσμοῖσι πιέζειν.'
you and with-more then in bonds press(-me)
" Ἦ τοι ἐγὼ τὰ ἕκαστα λέγων ἑτάροισι πίφαυσκον·
Truly indeed I these each telling to-the-comrades declared
τόφρα δὲ καρπαλίμως ἐξίκετο νηῦς ἐυεργὴς
meanwhile and swiftly reached the-ship well-built
νῆσον Σειρήνοιιν· ἔπειγε γὰρ οὖρος ἀπήμων.
the-island of-the-two-Sirens drove for the-fair-wind harmless
αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη
at-once then the-wind indeed ceased and calm
ἔπλετο νηνεμίη, κοίμησε δὲ κύματα δαίμων.
was windless lulled and the-waves a-god
ἀνστάντες δ' ἕταροι νεὸς ἱστία μηρύσαντο
standing-up and the-comrades of-the-ship the-sails furled
καὶ τὰ μὲν ἐν νηὶ γλαφυρῇ θέσαν, οἱ δ' ἐπ' ἐρετμὰ
and them indeed in ship hollow placed they and at oars
ἑζόμενοι λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσιν.
sitting whitened the-water with-polished fir-blades

αὐτὰρ ἐγὼ κηροῖο μέγαν τροχὸν ὀξέι χαλκῷ
but I of-wax a-great cake with-sharp bronze
τυτθὰ διατμήξας χερσὶ στιβαρῇσι πίεζον·
small cutting-up with-hands stout pressed
αἶψα δ' ἰαίνετο κηρός, ἐπεὶ κέλετο μεγάλη ἶς
quickly and was-warmed the-wax since urged great might
Ἠελίου τ' αὐγὴ Ὑπεριονίδαο ἄνακτος·
of-Helios and the-ray son-of-Hyperion lord
ἐξείης δ' ἑτάροισιν ἐπ' οὔατα πᾶσιν ἄλειψα.
in-a-row and for-the-comrades on the-ears all I-smeared(-it)
οἱ δ' ἐν νηί μ' ἔδησαν ὁμοῦ χεῖράς τε πόδας τε
they and in the-ship me bound together hands both feet and
ὀρθὸν ἐν ἱστοπέδῃ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνῆπτον·
upright in mast-step from and it ropes fastened
αὐτοὶ δ' ἑζόμενοι πολιὴν ἅλα τύπτον ἐρετμοῖς.
themselves and sitting the-gray sea smote with-oars
ἀλλ' ὅτε τόσσον ἀπῆμεν ὅσον τε γέγωνε βοήσας,
but when so-far we-were-off as-far-as — one-makes-heard shouting
ῥίμφα διώκοντες, τὰς δ' οὐ λάθεν ὠκύαλος νηῦς
swiftly driving them and not escaped-notice the-swift-sailing ship
ἐγγύθεν ὀρνυμένη, λιγυρὴν δ' ἔντυνον ἀοιδήν·
near rushing clear and they-raised song
"'Δεῦρ' ἄγ' ἰών, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
Hither come coming much-praised Odysseus great glory of-the-Achaeans
νῆα κατάστησον, ἵνα νωιτέρην ὄπ' ἀκούσῃς.
the-ship stay so-that of-us-two the-voice you-may-hear
οὐ γάρ πώ τις τῇδε παρήλασε νηὶ μελαίνῃ,
not for yet anyone here drove-past with-ship black
πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ στομάτων ὄπ' ἀκοῦσαι,
before indeed of-us honey-voiced from the-mouths the-voice to-hear

ἀλλ᾽ ὅ γε τερψάμενος νεῖται καὶ πλείονα εἰδώς.
but he indeed delighted goes-home and more knowing
ἴδμεν γάρ τοι πάνθ᾽ ὅσ᾽ ἐνὶ Τροίῃ εὐρείῃ
we-know for you-know all as-much-as in Troy broad
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν,
the-Argives Trojans and of-the-gods by-the-will toiled
ἴδμεν δ᾽, ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ.᾽
we-know and all-that happens on earth much-nourishing
“ Ὣς φάσαν ἱεῖσαι ὄπα κάλλιμον· αὐτὰρ ἐμὸν κῆρ
So they-said sending-forth voice fair but my heart
ἤθελ᾽ ἀκουέμεναι, λῦσαί τ᾽ ἐκέλευον ἑταίρους
wished to-hear to-loose and I-bade the-comrades
ὀφρύσι νευστάζων· οἱ δὲ προπεσόντες ἔρεσσον.
with-brows nodding they and bending-forward rowed
αὐτίκα δ᾽ ἀνστάντες Περιμήδης Εὐρύλοχός τε
at-once and standing-up Perimedes Eurylochus and
πλείοσί μ᾽ ἐν δεσμοῖσι δέον μᾶλλόν τε πίεζον.
with-more me in bonds bound more and pressed
αὐτὰρ ἐπεὶ δὴ τάς γε παρήλασαν, οὐδ᾽ ἔτ᾽ ἔπειτα
but when indeed them indeed they-drove-past nor longer then
φθογγῆς Σειρήνων ἠκούομεν οὐδέ τ᾽ ἀοιδῆς,
of-the-voice of-the-Sirens we-heard nor — of-the-song
αἶψ᾽ ἀπὸ κηρὸν ἕλοντο ἐμοὶ ἑρίηρες ἑταῖροι,
quickly from the-wax took my trusty comrades
ὅν σφιν ἐπ᾽ ὠσὶν ἄλειψ᾽, ἐμέ τ᾽ ἐκ δεσμῶν ἀνέλυσαν.
which for-them on ears I-had-smeared me and from bonds released

They saw the smoke and heard the roar of Charybdis, and the men dropped their oars. Odysseus encouraged them, told the helmsman to keep near the crag, but did not mention Scylla. Forgetting Circe's warning, he armed himself and watched for her. While they gazed at Charybdis, Scylla snatched six men, who cried his name as she devoured them at her cave's mouth, the most piteous sight of all his wanderings.

" Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, αὐτίκ' ἔπειτα
But when indeed the island we-were-leaving at-once then
καπνὸν καὶ μέγα κῦμα ἴδον καὶ δοῦπον ἄκουσα.
smoke and great wave I-saw and a-roar heard
τῶν δ' ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατ' ἐρετμά,
of-them and then fearing from hands flew the-oars
βόμβησαν δ' ἄρα πάντα κατὰ ῥόον· ἔσχετο δ' αὐτοῦ
splashed and then all along the-current stayed and there
νηῦς, ἐπεὶ οὐκέτ' ἐρετμὰ προήκεα χερσὶν ἔπειγον.
the-ship since no-longer oars long-bladed with-hands they-plied
αὐτὰρ ἐγὼ διὰ νηὸς ἰὼν ὤτρυνον ἑταίρους
but I through the-ship going urged the-comrades
μειλιχίοις ἐπέεσσι παρασταδὸν ἄνδρα ἕκαστον·
with-honeyed words standing-beside man each
"" Ὦ φίλοι, οὐ γάρ πώ τι κακῶν ἀδαήμονές εἰμεν·
O friends not for yet at-all of-evils unacquainted we-are
οὐ μὲν δὴ τόδε μεῖζον ἔπει κακόν, ἢ ὅτε Κύκλωψ
not indeed truly this greater is-upon(-us) evil than when the-Cyclops
εἴλει ἐνὶ σπῆι γλαφυρῷ κρατερῇφι βίηφιν·
penned(-us) in cave hollow with-mighty force
ἀλλὰ καὶ ἔνθεν ἐμῇ ἀρετῇ, βουλῇ τε νόῳ τε,
but even thence by-my valor by-counsel both wit and

ἐκφύγομεν, καί που τῶνδε μνήσεσθαι ὀΐω.
we-escaped and surely these-things to-remember I-think
νῦν δ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
now and come as — I say let-us-obey all
ὑμεῖς μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν
you indeed with-oars of-the-sea the-surf deep
τύπτετε κληῖδεσσιν ἐφήμενοι, αἴ κέ ποθι Ζεὺς
smite on-the-benches sitting if — somehow Zeus
δώῃ τόνδε γ' ὄλεθρον ὑπεκφυγέειν καὶ ἀλύξαι·
should-grant this indeed destruction to-escape and to-avoid
σοὶ δέ, κυβερνῆθ', ὧδ' ἐπιτέλλομαι· ἀλλ' ἐνὶ θυμῷ
to-you and helmsman thus I-enjoin but in heart
βάλλευ, ἐπεὶ νηὸς γλαφυρῆς οἰήια νωμᾷς.
lay(-it) since of-the-ship hollow the-steering-oars you-ply
τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔεργε
of-this indeed smoke and surge outside keep
νῆα, σὺ δὲ σκοπέλου ἐπιμαίεο, μή σε λάθῃσι
the-ship you and the-crag make-for lest you she-escape-notice
κεῖσ' ἐξορμήσασα καὶ ἐς κακὸν ἄμμε βάλῃσθα.'
thither swerving and into evil us you-cast
" Ὣς ἐφάμην, οἱ δ' ὦκα ἐμοῖς ἐπέεσσι πίθοντο.
So I-spoke they and quickly my words obeyed
Σκύλλην δ' οὐκέτ' ἐμυθεόμην, ἄπρηκτον ἀνίην,
of-Scylla and no-longer did-I-speak a-hopeless distress
μή πώς μοι δείσαντες ἀπολλήξειαν ἑταῖροι
lest somehow for-me fearing should-cease the-comrades
εἰρεσίης, ἐντὸς δὲ πυκάζοιεν σφέας αὐτούς.
from-rowing within and should-huddle them themselves

καὶ τότε δὴ Κίρκης μὲν ἐφημοσύνης ἀλεγεινῆς
and then indeed of-Circe indeed the-command grievous
λανθανόμην, ἐπεὶ οὔ τί μ' ἀνώγει θωρήσσεσθαι·
I-forgot since not at-all me she-bade to-arm-myself
αὐτὰρ ἐγὼ καταδὺς κλυτὰ τεύχεα καὶ δύο δοῦρε
but I having-put-on famous armor and two spears
μάκρ' ἐν χερσὶν ἑλὼν εἰς ἴκρια νηὸς ἔβαινον
long in hands taking onto the-deck of-the-ship went
πρῴρης· ἔνθεν γάρ μιν ἐδέγμην πρῶτα φανεῖσθαι
of-the-prow thence for her I-expected first to-appear
Σκύλλην πετραίην, ἥ μοι φέρε πῆμ' ἑτάροισιν.
Scylla of-the-rock who to-me would-bring woe to-comrades
οὐδέ πῃ ἀθρῆσαι δυνάμην, ἔκαμον δέ μοι ὄσσε
nor anywhere to-make-out was-I-able grew-weary and my eyes
πάντῃ παπταίνοντι πρὸς ἠεροειδέα πέτρην.
everywhere gazing toward the-misty rock
"Ἡμεῖς μὲν στεινωπὸν ἀνεπλέομεν γοόωντες·
We indeed the-strait sailed-up lamenting
ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις
on-one-side indeed Scylla on-the-other and divine Charybdis
δεινὸν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ.
terribly sucked-down of-the-sea the-salt water
ἦ τοι ὅτ' ἐξεμέσειε, λέβης ὡς ἐν πυρὶ πολλῷ
truly indeed when she-vomited(-it) a-cauldron like on fire great
πᾶσ' ἀναμορμύρεσκε κυκωμένη, ὑψόσε δ' ἄχνη
all she-seethed-up stirred on-high and the-spray
ἄκροισι σκοπέλοισιν ἐπ' ἀμφοτέροισιν ἔπιπτεν·
on-the-topmost crags on both fell
ἀλλ' ὅτ' ἀναβρόξειε θαλάσσης ἁλμυρὸν ὕδωρ,
but when she-sucked-down of-the-sea the-salt water

πᾶσ᾽ ἔντοσθε φάνεσκε κυκωμένη, ἀμφὶ δὲ πέτρη
all within appeared stirred around and the-rock
δεινὸν ἐβεβρύχει, ὑπένερθε δὲ γαῖα φάνεσκε
terribly roared beneath and the-earth appeared
ψάμμῳ κυανέῃ· τοὺς δὲ χλωρὸν δέος ᾕρει.
with-sand dark them and pale fear seized
ἡμεῖς μὲν πρὸς τὴν ἴδομεν δείσαντες ὄλεθρον·
we indeed toward her looked fearing destruction
τόφρα δέ μοι Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑταίρους
meanwhile and for-me Scylla hollow from ship comrades
ἓξ ἕλεθ᾽, οἳ χερσίν τε βίηφί τε φέρτατοι ἦσαν.
six took who with-hands both with-force and best were
σκεψάμενος δ᾽ ἐς νῆα θοὴν ἅμα καὶ μεθ᾽ ἑταίρους
looking and to the-ship swift together and after the-comrades
ἤδη τῶν ἐνόησα πόδας καὶ χεῖρας ὕπερθεν
already of-them I-saw the-feet and hands above
ὑψόσ᾽ ἀειρομένων· ἐμὲ δὲ φθέγγοντο καλεῦντες
on-high being-lifted to-me and they-cried calling
ἐξονομακλήδην, τότε γ᾽ ὕστατον, ἀχνύμενοι κῆρ.
by-name then indeed last grieving at-heart
ὡς δ᾽ ὅτ᾽ ἐπὶ προβόλῳ ἁλιεὺς περιμήκεϊ ῥάβδῳ
as and when on a-jutting-rock a-fisherman with-very-long rod
ἰχθύσι τοῖς ὀλίγοισι δόλον κατὰ εἴδατα βάλλων
for-the-fish the small a-trap down baits casting
ἐς πόντον προΐῃσι βοὸς κέρας ἀγραύλοιο,
into the-sea sends-forth of-an-ox the-horn field-dwelling
ἀσπαίροντα δ᾽ ἔπειτα λαβὼν ἔρριψε θύραζε,
gasping and then catching(-one) he-flings out-of(-the-water)
ὣς οἵ γ᾽ ἀσπαίροντες ἀείροντο προτὶ πέτρας·
so they indeed gasping were-lifted toward the-rocks

αὐτοῦ δ' εἰνὶ θύρῃσι κατήσθιε κεκληγώτας
there and in the-doorway she-devoured(-them) shrieking
χεῖρας ἐμοὶ ὀρέγοντας ἐν αἰνῇ δηιοτῆτι·
hands to-me stretching in dread strife
οἴκτιστον δὴ κεῖνο ἐμοῖς ἴδον ὀφθαλμοῖσι
most-piteous indeed that with-my I-saw eyes
πάντων, ὅσσ' ἐμόγησα πόρους ἁλὸς ἐξερεείνων.
of-all as-many-as I-toiled the-paths of-the-sea searching-out

XII.5 · THRINACIA

On reaching Thrinacia they heard the cattle of Helios, and Odysseus urged the men to sail past. Eurylochus protested that they were exhausted and must rest, and the others agreed. Odysseus made them swear not to touch the cattle. Storms then kept them there a month, and when the provisions ran out they hunted and fished. While Odysseus slept, Eurylochus urged the men to sacrifice the best cattle, saying a quick death at sea is better than starving.

"Αὐτὰρ ἐπεὶ πέτρας φύγομεν δεινήν τε Χάρυβδιν
But when the-rocks we-escaped dread and Charybdis
Σκύλλην τ', αὐτίκ' ἔπειτα θεοῦ ἐς ἀμύμονα νῆσον
Scylla and at-once then of-the-god to the-blameless island
ἱκόμεθ'· ἔνθα δ' ἔσαν καλαὶ βόες εὐρυμέτωποι,
we-came there and were fair cattle broad-browed
πολλὰ δὲ ἴφια μῆλ' Ὑπερίονος Ἠελίοιο.
many and fat flocks of-Hyperion Helios

δὴ τότ᾽ ἐγὼν ἔτι πόντῳ ἐὼν ἐν νηὶ μελαίνῃ
indeed then I still on-the-sea being in ship black
μυκηθμοῦ τ᾽ ἤκουσα βοῶν αὐλιζομενάων
of-the-lowing both heard of-the-cattle being-penned
οἰῶν τε βληχήν· καί μοι ἔπος ἔμπεσε θυμῷ
of-sheep and the-bleating and to-me a-word fell-into heart
μάντηος ἀλαοῦ, Θηβαίου Τειρεσίαο,
of-the-seer blind Theban Teiresias
Κίρκης τ᾽ Αἰαίης, ἥ μοι μάλα πόλλ᾽ ἐπέτελλε
of-Circe and Aeaean who me very much enjoined
νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο.
the-island to-shun of-mortal-gladdening Helios
δὴ τότ᾽ ἐγὼν ἑτάροισι μετηύδων ἀχνύμενος κῆρ·
indeed then I among-the-comrades spoke grieving at-heart
"‘Κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι,
Hear me words evils though suffering comrades
ὄφρ᾽ ὑμῖν εἴπω μαντήια Τειρεσίαο
so-that to-you I-may-tell the-prophecies of-Teiresias
Κίρκης τ᾽ Αἰαίης, ἥ μοι μάλα πόλλ᾽ ἐπέτελλε
of-Circe and Aeaean who me very much enjoined
νῆσον ἀλεύασθαι τερψιμβρότου Ἠελίοιο·
the-island to-shun of-mortal-gladdening Helios
ἔνθα γὰρ αἰνότατον κακὸν ἔμμεναι ἄμμιν ἔφασκεν.
there for most-dreadful evil to-be for-us she-said
ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετε νῆα μέλαιναν.᾽
but past the island drive the-ship black
" Ὣς ἐφάμην, τοῖσιν δὲ κατεκλάσθη φίλον ἦτορ.
So I-spoke for-them and was-broken dear heart
αὐτίκα δ᾽ Εὐρύλοχος στυγερῷ μ᾽ ἠμείβετο μύθῳ·
at-once and Eurylochus with-hateful me answered word

"'Σχέτλιός εἰς, Ὀδυσεῦ· περί τοι μένος, οὐδέ τι γυῖα
Cruel you-are Odysseus exceedingly your might nor at-all limbs
κάμνεις· ἦ ῥά νυ σοί γε σιδήρεα πάντα τέτυκται,
you-weary truly then now for-you indeed of-iron all are-made
ὅς ῥ' ἑτάρους καμάτῳ ἀδηκότας ἠδὲ καὶ ὕπνῳ
who then comrades with-weariness sated and also with-sleep
οὐκ ἐάᾳς γαίης ἐπιβήμεναι, ἔνθα κεν αὖτε
not you-let the-land to-set-foot-on where — again
νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον,
island on sea-girt savory we-might-prepare supper
ἀλλ' αὔτως διὰ νύκτα θοὴν ἀλάλησθαι ἄνωγας
but just-so through night swift to-wander you-bid
νήσου ἀποπλαγχθέντας ἐν ἠεροειδέι πόντῳ.
from-the-island driven-astray on the-misty sea
ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί, δηλήματα νηῶν,
from nights and winds hard destroyers of-ships
γίγνονται· πῇ κέν τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
arise how — any might-escape sheer destruction
ἤν πως ἐξαπίνης ἔλθῃ ἀνέμοιο θύελλα,
if somehow suddenly should-come of-wind a-storm
ἢ Νότου ἢ Ζεφύροιο δυσαέος, οἵ τε μάλιστα
either of-Notus or of-Zephyrus ill-blowing which — most
νῆα διαρραίουσι θεῶν ἀέκητι ἀνάκτων.
a-ship shatter of-the-gods against-the-will lords
ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ
but truly indeed now indeed let-us-obey night black
δόρπον θ' ὁπλισόμεσθα θοῇ παρὰ νηὶ μένοντες,
supper and let-us-prepare swift beside ship staying
ἠῶθεν δ' ἀναβάντες ἐνήσομεν εὐρέι πόντῳ.'
at-dawn and embarking let-us-launch(-her) on-the-wide sea

" Ὣς ἔφατ' Εὐρύλοχος, ἐπὶ δ' ἤνεον ἄλλοι ἑταῖροι.
So spoke Eurylochus on and approved other comrades
καὶ τότε δὴ γίγνωσκον ὃ δὴ κακὰ μήδετο δαίμων,
and then indeed I-knew that indeed evils devised the-god
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδων·
and him having-spoken words winged I-addressed
"'Εὐρύλοχ', ἦ μάλα δή με βιάζετε μοῦνον ἐόντα.
Eurylochus truly very indeed me you-force alone being
ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον·
but come now to-me all swear a-mighty oath
εἴ κέ τιν' ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ' οἰῶν
if — any either of-cattle a-herd or flock great of-sheep
εὕρωμεν, μή πού τις ἀτασθαλίῃσι κακῇσιν
we-find lest somehow any by-recklessness evil
ἢ βοῦν ἠέ τι μῆλον ἀποκτάνῃ· ἀλλὰ ἕκηλοι
either an-ox or any sheep should-kill but at-ease
ἐσθίετε βρώμην, τὴν ἀθανάτη πόρε Κίρκη.'
eat the-food which immortal gave Circe
" Ὣς ἐφάμην, οἱ δ' αὐτίκ' ἀπώμνυον, ὡς ἐκέλευον.
So I-spoke they and at-once swore as I-bade
αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
but when then they-swore both completed and the oath
στήσαμεν ἐν λιμένι γλαφυρῷ ἐυεργέα νῆα
we-stationed in harbor hollow the-well-built ship
ἄγχ' ὕδατος γλυκεροῖο, καὶ ἐξαπέβησαν ἑταῖροι
near water sweet and stepped-out the-comrades
νηός, ἔπειτα δὲ δόρπον ἐπισταμένως τετύκοντο.
from-the-ship then and supper skillfully prepared
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
but when of-drink and of-food out desire they-put

μνησάμενοι δὴ ἔπειτα φίλους ἔκλαιον ἑταίρους,
remembering indeed then dear they-wept comrades
οὓς ἔφαγε Σκύλλη γλαφυρῆς ἐκ νηὸς ἑλοῦσα·
whom ate Scylla hollow from ship having-taken(-them)
κλαιόντεσσι δὲ τοῖσιν ἐπήλυθε νήδυμος ὕπνος.
weeping and them came-upon sweet sleep
ἦμος δὲ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει,
when and in-three of-the-night it-was beyond and the-stars had-gone
ὦρσεν ἔπι ζαὴν ἄνεμον νεφεληγερέτα Ζεὺς
roused on violent wind cloud-gatherer Zeus
λαίλαπι θεσπεσίῃ, σὺν δὲ νεφέεσσι κάλυψε
with-a-hurricane wondrous together and clouds covered
γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ' οὐρανόθεν νύξ.
earth together and sea arose and from-heaven night
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
when and early-born appeared rosy-fingered Dawn
νῆα μὲν ὡρμίσαμεν κοίλον σπέος εἰσερύσαντες.
the-ship indeed we-moored into-hollow cave dragging(-her)
ἔνθα δ' ἔσαν νυμφέων καλοὶ χοροὶ ἠδὲ θόωκοι·
there and were of-the-nymphs fair dancing-floors and seats
καὶ τότ' ἐγὼν ἀγορὴν θέμενος μετὰ μῦθον ἔειπον·
and then I an-assembly having-set among speech spoke
"'Ὦ φίλοι, ἐν γὰρ νηὶ θοῇ βρῶσίς τε πόσις τε
O friends in for ship swift food both drink and
ἔστιν, τῶν δὲ βοῶν ἀπεχώμεθα, μή τι πάθωμεν·
is from-the and cattle let-us-keep-away lest anything we-suffer
δεινοῦ γὰρ θεοῦ αἵδε βόες καὶ ἴφια μῆλα,
of-a-dread for god these cattle and fat flocks
Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.'
of-Helios who all oversees and all overhears

"Ὣς ἐφάμην, τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
So I-spoke to-them and was-persuaded heart proud
μῆνα δὲ πάντ' ἄλληκτος ἄη Νότος, οὐδέ τις ἄλλος
a-month and whole unceasingly blew Notus nor any other
γίγνετ' ἔπειτ' ἀνέμων εἰ μὴ Εὖρός τε Νότος τε.
arose then of-winds if not Eurus both Notus and
"Οἱ δ' ἦος μὲν σῖτον ἔχον καὶ οἶνον ἐρυθρόν,
They and while indeed bread they-had and wine red
τόφρα βοῶν ἀπέχοντο λιλαιόμενοι βιότοιο.
so-long from-the-cattle they-kept-away longing for-life
ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο ἴλια πάντα,
but when indeed from-the-ship were-spent provisions all
καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ,
and indeed game they-pursued wandering by-necessity
ἰχθῦς ὄρνιθάς τε, φίλας ὅ τι χεῖρας ἵκοιτο,
fish birds and dear what thing to-hands might-come
γναμπτοῖς ἀγκίστροισιν, ἔτειρε δὲ γαστέρα λιμός·
with-bent hooks wore and the-belly hunger
δὴ τότ' ἐγὼν ἀνὰ νῆσον ἀπέστιχον, ὄφρα θεοῖσιν
indeed then I up-through the-island went-off so-that to-the-gods
εὐξαίμην, εἴ τίς μοι ὁδὸν φήνειε νέεσθαι.
I-might-pray if any to-me the-way should-show to-return
ἀλλ' ὅτε δὴ διὰ νήσου ἰὼν ἤλυξα ἑταίρους,
but when indeed through the-island going I-escaped the-comrades
χεῖρας νιψάμενος, ὅθ' ἐπὶ σκέπας ἦν ἀνέμοιο,
hands having-washed where on shelter was from-wind
ἠρώμην πάντεσσι θεοῖς οἳ Ὄλυμπον ἔχουσιν·
I-prayed to-all the-gods who Olympus hold

οἱ δ' ἄρα μοι γλυκὺν ὕπνον ἐπὶ βλεφάροισιν ἔχευαν.
they and then on-me sweet sleep on eyelids poured
Εὐρύλοχος δ' ἑτάροισι κακῆς ἐξήρχετο βουλῆς·
Eurylochus and among-the-comrades evil began counsel
"'Κέκλυτέ μευ μύθων κακά περ πάσχοντες ἑταῖροι.
Hear me words evils though suffering comrades
πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσι,
all indeed hateful deaths to-wretched mortals
λιμῷ δ' οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.
by-hunger but most-piteous to-die and fate to-meet
ἀλλ' ἄγετ', Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
but come of-Helios of-the-cattle driving-off the-best
ῥέξομεν ἀθανάτοισι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
let-us-sacrifice to-immortals who heaven broad hold
εἰ δέ κεν εἰς Ἰθάκην ἀφικοίμεθα, πατρίδα γαῖαν,
if and — to Ithaca we-should-come native land
αἶψά κεν Ἠελίῳ Ὑπερίονι πίονα νηὸν
quickly — to-Helios Hyperion a-rich temple
τεύξομεν, ἐν δέ κε θεῖμεν ἀγάλματα πολλὰ καὶ ἐσθλά.
we-will-build in and — we-would-put offerings many and good
εἰ δὲ χολωσάμενός τι βοῶν ὀρθοκραιράων
if but angered at-all for-the-cattle straight-horned
νῆ' ἐθέλῃ ὀλέσαι, ἐπὶ δ' ἕσπωνται θεοὶ ἄλλοι,
the-ship he-wishes to-destroy on and follow gods other
βούλομ' ἅπαξ πρὸς κῦμα χανὼν ἀπὸ θυμὸν ὀλέσσαι,
I-wish once to the-wave gaping out life to-lose
ἢ δηθὰ στρεύγεσθαι ἐὼν ἐν νήσῳ ἐρήμῃ.'
than long to-be-wasted being in island desert

The men slaughtered the best cattle, using oak leaves for barley and water for wine. Odysseus woke, smelled the roasting meat, and lamented. Lampetie told Helios, who threatened to shine among the dead, and Zeus promised to strike the ship. When they sailed after six days of feasting, Zeus sent a storm and a thunderbolt, and all the comrades drowned. Odysseus, lashing mast and keel together, was carried back to Charybdis, clung to a fig tree until his timbers reappeared, and drifted nine days to Calypso's island.

" Ὣς ἔφατ' Εὐρύλοχος, ἐπὶ δ' ᾔνεον ἄλλοι ἑταῖροι.
So spoke Eurylochus on and approved other comrades
αὐτίκα δ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας
at-once and of-Helios of-the-cattle driving-off the-best
ἐγγύθεν, οὐ γὰρ τῆλε νεὸς κυανοπρώροιο
near not for far-off of-the-ship dark-prowed
βοσκέσκονθ' ἕλικες καλαὶ βόες εὐρυμέτωποι, 355
grazed crooked-horned fair cattle broad-browed
τὰς δὲ περίστησάν τε καὶ εὐχετόωντο θεοῖσιν,
them and they-stood-around both and prayed to-the-gods
φύλλα δρεψάμενοι τέρενα δρυὸς ὑψικόμοιο·
leaves plucking tender of-an-oak high-leafed
οὐ γὰρ ἔχον κρῖ λευκὸν ἐυσσέλμου ἐπὶ νηός.
not for they-had barley white well-benched on ship
αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ ἔσφαξαν καὶ ἔδειραν,
but when then they-had-prayed and slaughtered and flayed
μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν 360
thighs both cut-out over and with-fat covered
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.
double making on them and laid-raw-bits

οὐδ᾽ εἶχον μέθυ λεῖψαι ἐπ᾽ αἰθομένοις ἱεροῖσιν,
nor had-they wine to-pour on burning sacrifices
ἀλλ᾽ ὕδατι σπένδοντες ἐπώπτων ἔγκατα πάντα.
but with-water pouring-libations they-roasted the-entrails all
αὐτὰρ ἐπεὶ κατὰ μῆρ᾽ ἐκάη καὶ σπλάγχνα πάσαντο,
but when down the-thighs were-burned and the-entrails they-tasted
μίστυλλόν τ᾽ ἄρα τἆλλα καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειραν.
cut-up both then the-rest and around spits pierced
καὶ τότε μοι βλεφάρων ἐξέσσυτο νήδυμος ὕπνος,
and then for-me from-eyelids rushed-out sweet sleep
βῆν δ᾽ ἰέναι ἐπὶ νῆα θοὴν καὶ θῖνα θαλάσσης.
went and to-go to the-ship swift and the-shore of-the-sea
ἀλλ᾽ ὅτε δὴ σχεδὸν ἦα κιὼν νεὸς ἀμφιελίσσης,
but when indeed near I-was going the-ship curved
καὶ τότε με κνίσης ἀμφήλυθεν ἡδὺς ἀυτμή.
and then me of-the-savor came-around sweet the-breath
οἰμώξας δὲ θεοῖσι μέγ᾽ ἀθανάτοισι γεγώνευν·
groaning and to-the-gods loudly immortal I-cried
"‘Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Zeus father and other blessed gods always being
ἦ με μάλ᾽ εἰς ἄτην κοιμήσατε νηλέι ὕπνῳ.
truly me very into ruin you-lulled with-pitiless sleep
οἱ δ᾽ ἕταροι μέγα ἔργον ἐμητίσαντο μένοντες.’
they and the-comrades great deed devised staying
" ᾽Ωκέα δ᾽ Ἠελίῳ Ὑπερίονι ἄγγελος ἦλθε
Swift and to-Helios Hyperion a-messenger came
Λαμπετίη τανύπεπλος, ὅ οἱ βόας ἔκταμεν ἡμεῖς.
Lampetie long-robed that his cattle had-killed we
αὐτίκα δ᾽ ἀθανάτοισι μετηύδα χωόμενος κῆρ·
at-once and among-the-immortals he-spoke being-angered at-heart

"'Ζεῦ πάτερ ἠδ' ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Zeus father and other blessed gods always being
τῖσαι δὴ ἑτάρους Λαερτιάδεω Ὀδυσῆος,
punish indeed the-comrades of-Laertes'-son Odysseus
οἵ μευ βοῦς ἔκτειναν ὑπέρβιον, ᾗσιν ἐγώ γε
who my cattle killed insolently in-which I indeed
χαίρεσκον μὲν ἰὼν εἰς οὐρανὸν ἀστερόεντα,
used-to-rejoice indeed going to heaven starry
ἠδ' ὁπότ' ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτραποίμην.
and when back to earth from heaven I-turned
εἰ δέ μοι οὐ τίσουσι βοῶν ἐπιεικὲ' ἀμοιβήν,
if and to-me not they-will-pay for-the-cattle fitting recompense
δύσομαι εἰς Ἀίδαο καὶ ἐν νεκύεσσι φαείνω.'
I-will-go-down to Hades and among the-dead I-will-shine
"Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Him and answering addressed cloud-gatherer Zeus
'Ἠέλι', ἦ τοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε
Helios truly indeed indeed you among immortals shine
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν·
and to-mortal men over grain-giving earth
τῶν δέ κ' ἐγὼ τάχα νῆα θοὴν ἀργῆτι κεραυνῷ
of-them and — I quickly the-ship swift with-dazzling thunderbolt
τυτθὰ βαλὼν κεάσαιμι μέσῳ ἐνὶ οἴνοπι πόντῳ.'
little striking would-shatter the-middle in wine-dark sea
"Ταῦτα δ' ἐγὼν ἤκουσα Καλυψοῦς ἠυκόμοιο·
These-things and I heard from-Calypso fair-haired
ἡ δ' ἔφη Ἑρμείαο διακτόρου αὐτὴ ἀκοῦσαι.
she and said from-Hermes the-guide herself to-have-heard

"Αὐτὰρ ἐπεί ῥ' ἐπὶ νῆα κατήλυθον ἠδὲ θάλασσαν,
But when then to the-ship I-had-come-down and the-sea
νείκεον ἄλλοθεν ἄλλον ἐπισταδόν, οὐδέ τι μῆχος
I-reproached from-elsewhere another standing-by nor any remedy
εὑρέμεναι δυνάμεσθα, βόες δ' ἀποτέθνασαν ἤδη.
to-find we-were-able the-cattle and had-died already
τοῖσιν δ' αὐτίκ' ἔπειτα θεοὶ τέραα προύφαινον·
for-them and at-once then the-gods portents showed
εἶρπον μὲν ῥινοί, κρέα δ' ἀμφ' ὀβελοῖσι μεμύκει,
crept indeed the-hides the-meats and around spits lowed
ὀπταλέα τε καὶ ὠμά, βοῶν δ' ὣς γίγνετο φωνή.
roasted both and raw of-cattle and like was voice
"Ἑξῆμαρ μὲν ἔπειτα ἐμοὶ ἑρίηρες ἑταῖροι
For-six-days indeed then my trusty comrades
δαίνυντ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας·
feasted of-Helios of-the-cattle driving-off the-best
ἀλλ' ὅτε δὴ ἕβδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονίων,
but when indeed seventh day on Zeus put son-of-Cronus
καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο λαίλαπι θύων,
and then then the-wind indeed ceased with-hurricane raging
ἡμεῖς δ' αἶψ' ἀναβάντες ἐνήκαμεν εὐρέι πόντῳ,
we and at-once embarking launched(-her) on-the-wide sea
ἱστὸν στησάμενοι ἀνά θ' ἱστία λεύκ' ἐρύσαντες.
mast having-set-up up and sails white hoisting
"Ἀλλ' ὅτε δὴ τὴν νῆσον ἐλείπομεν, οὐδέ τις ἄλλη
But when indeed the island we-were-leaving nor any other
φαίνετο γαιάων, ἀλλ' οὐρανὸς ἠδὲ θάλασσα,
appeared of-lands but heaven and sea

δὴ τότε κυανέην νεφέλην ἔστησε Κρονίων
indeed then a-dark cloud set the-son-of-Cronus
νηὸς ὕπερ γλαφυρῆς, ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς.
the-ship above hollow grew-dark and the-sea under it
ἡ δ' ἔθει οὐ μάλα πολλὸν ἐπὶ χρόνον· αἶψα γὰρ ἦλθε
she and ran not very much over time at-once for came
κεκληγὼς Ζέφυρος μεγάλῃ σὺν λαίλαπι θύων,
shrieking Zephyrus great with hurricane raging
ἱστοῦ δὲ προτόνους ἔρρηξ' ἀνέμοιο θύελλα
of-the-mast and the-forestays broke of-the-wind the-storm
ἀμφοτέρους· ἱστὸς δ' ὀπίσω πέσεν, ὅπλα τε πάντα
both the-mast and backward fell the-tackle and all
εἰς ἄντλον κατέχυνθ'. ὁ δ' ἄρα πρυμνῇ ἐνὶ νηὶ
into the-bilge were-spilled it and then the-stern in ship
πλῆξε κυβερνήτεω κεφαλήν, σὺν δ' ὀστέ' ἄραξε
struck of-the-helmsman the-head together and bones crushed
πάντ' ἄμυδις κεφαλῆς· ὁ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς
all at-once of-the-head he and then to-a-diver like
κάππεσ' ἀπ' ἰκριόφιν, λίπε δ' ὀστέα θυμὸς ἀγήνωρ.
fell from the-deck left and the-bones the-spirit proud
Ζεὺς δ' ἄμυδις βρόντησε καὶ ἔμβαλε νηὶ κεραυνόν·
Zeus and at-once thundered and hurled on-the-ship a-thunderbolt
ἡ δ' ἐλελίχθη πᾶσα Διὸς πληγεῖσα κεραυνῷ,
she and spun-round all of-Zeus struck by-the-thunderbolt
ἐν δὲ θεείου πλῆτο, πέσον δ' ἐκ νηὸς ἑταῖροι.
in and with-sulfur was-filled fell and from the-ship the-comrades
οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
they and to-sea-crows like around the-ship black
κύμασιν ἐμφορέοντο, θεὸς δ' ἀποαίνυτο νόστον.
on-the-waves were-borne the-god and took-away the-return

αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίτων, ὄφρ᾽ ἀπὸ τοίχους
but I through the-ship went-to-and-fro until from the-sides
λῦσε κλύδων τρόπιος, τὴν δὲ ψιλὴν φέρε κῦμα,
loosed the-surge from-the-keel her and bare bore the-wave
ἐκ δέ οἱ ἱστὸν ἄραξε ποτὶ τρόπιν. αὐτὰρ ἐπ᾽ αὐτῷ
out and its mast it-broke against the-keel but on it
ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς·
the-backstay was-thrown of-ox's hide made
τῷ ῥ᾽ ἄμφω συνέεργον, ὁμοῦ τρόπιν ἠδὲ καὶ ἱστόν,
with-it then both I-lashed-together together keel and also mast
ἑζόμενος δ᾽ ἐπὶ τοῖς φερόμην ὀλοοῖς ἀνέμοισιν.
sitting and on them I-was-borne by-deadly winds
"Ἔνθ᾽ ἦ τοι Ζέφυρος μὲν ἐπαύσατο λαίλαπι θύων,
There truly indeed Zephyrus indeed ceased with-hurricane raging
ἦλθε δ᾽ ἐπὶ Νότος ὦκα, φέρων ἐμῷ ἄλγεα θυμῷ,
came and on Notus quickly bringing to-my pains heart
ὄφρ᾽ ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν.
so-that still the deadly I-might-measure-again Charybdis
παννύχιος φερόμην, ἅμα δ᾽ ἠελίῳ ἀνιόντι
all-night I-was-borne with and the-sun rising
ἦλθον ἐπὶ Σκύλλης σκόπελον δεινήν τε Χάρυβδιν.
I-came to of-Scylla the-crag dread and Charybdis
ἡ μὲν ἀνερροίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ·
she indeed sucked-down of-the-sea the-salt water
αὐτὰρ ἐγὼ ποτὶ μακρὸν ἐρινεὸν ὑψόσ᾽ ἀερθείς,
but I to tall fig-tree on-high lifted
τῷ προσφὺς ἐχόμην ὡς νυκτερίς. οὐδέ πῃ εἶχον
to-it clinging I-held like a-bat nor anywhere was-I-able
οὔτε στηρίξαι ποσὶν ἔμπεδον οὔτ᾽ ἐπιβῆναι·
either to-plant-myself with-feet firmly or to-climb(-it)

ῥίζαι γὰρ ἑκὰς εἶχον, ἀπήωροι δ' ἔσαν ὄζοι,
the-roots for far-off were dangling and were the-branches
μακροί τε μεγάλοι τε, κατεσκίαον δὲ Χάρυβδιν.
long both great and overshadowed and Charybdis
νωλεμέως δ' ἐχόμην, ὄφρ' ἐξεμέσειεν ὀπίσσω
unceasingly and I-held until she-should-vomit back
ἱστὸν καὶ τρόπιν αὖτις· ἐελδομένῳ δέ μοι ἦλθον
mast and keel again longing and to-me came(-they)
ὄψ'· ἦμος δ' ἐπὶ δόρπον ἀνὴρ ἀγορῆθεν ἀνέστη
late when and to supper a-man from-the-assembly rose
κρίνων νείκεα πολλὰ δικαζομένων αἰζηῶν,
judging quarrels many of-litigants youths
τῆμος δὴ τά γε δοῦρα Χαρύβδιος ἐξεφαάνθη.
then indeed these indeed timbers from-Charybdis appeared
ἦκα δ' ἐγὼ καθύπερθε πόδας καὶ χεῖρε φέρεσθαι,
let-go and I from-above feet and hands to-be-borne
μέσσῳ δ' ἐνδούπησα παρὲξ περιμήκεα δοῦρα,
in-the-middle and I-fell-with-a-thud beside the-very-long timbers
ἑζόμενος δ' ἐπὶ τοῖσι διήρεσα χερσὶν ἐμῇσι.
sitting and on them I-rowed-through with-hands my
Σκύλλην δ' οὐκέτ' ἔασε πατὴρ ἀνδρῶν τε θεῶν τε
Scylla and no-longer let father of-men both of-gods and
εἰσιδέειν· οὐ γάρ κεν ὑπέκφυγον αἰπὺν ὄλεθρον.
to-see(-me) not for — I-would-have-escaped sheer destruction
" Ἔνθεν δ' ἐννῆμαρ φερόμην, δεκάτῃ δέ με νυκτὶ
Thence and for-nine-days I-was-borne on-the-tenth and me night
νῆσον ἐς Ὠγυγίην πέλασαν θεοί, ἔνθα Καλυψὼ
island to Ogygia brought the-gods where Calypso
ναίει ἐυπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα,
dwells fair-tressed dread goddess speaking-with-voice

ἥ μ᾽ ἐφίλει τ᾽ ἐκόμει τε. τί τοι τάδε μυθολογεύω;
who me loved and tended and why to-you these-things do-I-tell

ἤδη γάρ τοι χθιζὸς ἐμυθεόμην ἐνὶ οἴκῳ
already for to-you yesterday I-told in house

σοί τε καὶ ἰφθίμῃ ἀλόχῳ· ἐχθρὸν δέ μοί ἐστιν
to-you both and to-mighty wife hateful and to-me it-is

αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν.”
again clearly told-things to-tell